# NEW POEMS

# attributed to

# POSIDIPPUS

A text-in-progress

revised and periodically updated
by Benjamin Acosta-Hughes and Elizabeth Kosmetatou

The Center for Hellenic Studies, 2002

The *editio princeps* of this papyrus was first published in 2001 as *Posidippo di Pella: Epigrammi* (P.Mil.Vogl. VIII 309), Papiri dell' Università degli Studi di Milano - VIII, by LED - Edizioni Universitarie di Lettere Economia Diritto for the University of Milan. It was edited by Guido Bastianini and Claudio Gallazzi, with the collaboration of Colin Austin.

The *editio minor* was published in 2002 by C. Austin and G. Bastianini under the title *Posidippi Pellaei Quae Supersunt Omnia* (Edizioni LED).

Table of Contents

Key to Apparatus Criticus .......... iii

New Poems attributed to Posidippus .......... 1

Concordance .......... 33

Key to Apparatus Criticus


| | |
|---|---|
| *ed. pr.* | Bastianini, G., and Gallazzi, C., eds., with C. Austin, *Posidippo di Pella: Epigrammi* (P.Mil.Vogl. VIII 309), Papiri dell'Università degli Studi di Milano, 8. Milan, 2001. |
| *ed. min.* | Austin, C. and G. Bastianini, *Posidippi Pellaei quae supersunt omnia*, Milan 2002. |
| Angiò 1996 | Angiò, F., "L 'epigramma di Posidippo per la miracolosa guarigione del cretese Arcade," *Archiv für Papyrusforschung* 42: 23–25. |
| Austin 2002 | Austin, C. "Postscript," *ZPE* 139: 33–34. |
| Battezzato 2003 | Battezzato, L., "Notes on the New Posidippus," *ZPE* 144 (forthcoming). |
| Bernardini-Bravi 2002 | Bernardini, P. and L. Bravi, "Note di lettura al nuovo Posidippo," *QUCC* 70: 147–163. |
| Gigante 1993 | Gigante, M., "Attendendo Posidippo," *Studi Italiani di Filologia Classica* 86: 5–11. |
| Gronewald 1993 | Gronewald, M. 1999, "Der neue Poseidippos und Kallimachos Epigramm 35," *ZPE* 99: 28, n. 2. |
| Gronewald 2001 | Gronewald, M. "Bemerkungen zum neuen Poseidippos," *ZPE* 137: 1–5. |
| Gutzwiller 2002 | Gutzwiller, K.J., "Posidippus on Statuary," in G. Bastianini and A. Casanova, eds., *Il papiro di Posidippo un anno dopo*, Florence, 2002, 41–59. |
| Hutchinson 2002 | Hutchinson, G.O. "The New Posidippus and Latin Poetry," *ZPE* 138: 1–10. |
| Lapini 2002 | Lapini, W. "Osservazioni sul nuovo Posidippo (P.Mil.Vogl. VIII 309)." *Lexis* 20: 35–60. |
| Lapini 2003 | Lapini, W., "Note posidippee," *ZPE* 142: 43. |

Key to Apparatus Criticus


| | |
|---|---|
| Livrea 2002 | Livrea, E., "Critica testuale ed esegesi del nuovo Posidippo," in G. Bastianini and A. Casanova, eds., *Il papiro di Posidippo un anno dopo*, Florence, 2002, 61–77. |
| Lloyd-Jones 2001 | Lloyd-Jones, H. "Notes on P.Mil.Vogl.VIII 309," *ZPE* 137: 6. |
| Lloyd-Jones 2002 | Lloyd-Jones, H. "Two More Notes on P.Mil.Vogl. VIII 309 (Poseidippos)," *ZPE* 139: 33. |
| Luppe 2001 | Luppe, W. "Weitere Überlegungen zu Poseidipps Lithika-Epigramm Kol. III 14ff.," *Archiv für Papyrusforschung* 47: 250–251. |
| Luppe 2002a | Luppe, W., "Ein unbekannter Vogelname in Poseidipps *Oionoskopika*: (Kol. IV 24-29)," *Archiv für Papyrusforschung* 48: 207–209. |
| Luppe 2002b | Luppe, W. "Zum Lithika. Epigram Kol. III 28–41 Poseidipps (P.Mil.Vogl. VIII 309)," *L' Antiquité Classique* 71: 135–136. |
| Schröder 2002 | Schröder, S. "Überlegungen zu zwei Epigrammen des neuen Mailänder Papyrus," *ZPE* 139: 27–29. |
| Scodel 2003 | Scodel, R., "A Note on Posidippus 63," *ZPE* 142: 44. |
| Voutiras 1994 | Voutiras, E., "Wortkarge Söldner? Ein Interpretationsvorschlag zum neuen Poseidippos," *ZPE* 104: 27–31. |

# Column I 1–23

[λιθι]κ̣ά̣

Ἰνδὸϲ Ὑδάϲπηϲ̣ [
.].θ̣.[...].ο̣θ̣[
±15 ]τ̣ο̣.[
__ ........]ν̣ λ̣επ̣τ̣ὴ Ζη̣ν̣[

........]. κεῖτ̣[α]ι̣ κεραϲ̣[
...... ὑ]π̣ὸ Κρονίου βαϲα̣[
..... οἰ]ν̣οχοεῖϲθαι οπ.[
__ .......]λανθη βυϲϲόθε̣ν̣ Ἰνδ.[

......] α̣ὐγάζων ὅδ᾽ ἐν ὧ‹ι› φ̣ι̣α̣λ[
• ......]ν ἁ‹ρ›π̣άζει βλέμματοϲ ὑγρ̣ὰ̣ φ̣[άη
.....].θειϲ τ̣ριέλικτα φυήν· ϲὺ δὲ κα.[
__ .....]. ἐν δαίτη‹ι› πότνια .[....]δ̣ε̣[

.....].ρ̣ων τὸν γλαυκὸν ομ.[
......]. Δαρείου δακτυλο[
.......] ἀντιϲέληνον ατ̣[
.......]ϲ λύχνωι παννυ̣[χ...]..[
Πέρϲην δὲ χρυϲῶι ϲφι‹γ›κτὸν λίθον ἐ̣ξ ἀγ[απ]η̣τ̣[οῦ
__ δῶρον Μανδήνη πήχεοϲ ἐκρέμαϲεν.

Τιμάνθ̣ηϲ ἔγλυψε τὸν ἀϲτερόεντα ϲάπειρον
• τόνδε χρ̣υϲίτην Περϲικὸν ἡμίλιθον
Δημύλωι· ἀνθ᾽ ἁπαλοῦ δ̣ὲ φιλήματ̣οϲ ἡ κυανόθριξ
__ δῶρον Ν̣[ι]καίη Κῶια ἔδ̣[εκτ᾽ ἐρατόν.

I.11 P. ἁ‹ρ›π̣άζει *ed. pr.* ἁρπ̣άζει


© Center for Hellenic Studies

# Column I 24 – Column II 2

τῶιδε λίθωι πᾶϲιν δ[οκίμωι μεγαλύν]εται Ἥρωϲ,
ἕλκει δὲ γραπτὴν Ἶριν [ὑπὸ Κρονίου
τοῦτο τὸ μαρμαῖρον β[ηρύλλιον· εὖ] δ᾽ ἐπ̣ε̣δήθη
Νικο̣νόηϲ ὁ κύβοϲ χρύϲε̣[ον εἰϲ κάθε]μα,
καὶ δωρητὸϲ ὑπῆλθ[ε, χάριϲ καιν]ή, κ̣α̣τὰ μαϲτόν
__ κλίνεϲθαι ϲτηθέων π[αρθένου ἡ]δ̣ὺ ϲέλαϲ.

ἐξ Ἀράβων τὰ ξάνθ᾽{α} ὀ̣[ρέων κατέρ]υτα κυλίων,
• εἰϲ ἅλα χειμάρρουϲ ὦκ᾽ [ἐφόρει ποτα]μόϲ
τὸν μέλιτι χροιὴν λίθ̣[ον εἴκελον, ὃ]ν̣ Κρονίο[υ] χ̣είρ
ἔγλυψε· χρυϲῶι ϲφι⟨γ⟩κτ̣[ὸϲ ὅδε γλυκερ]ῆι
Νικονό̣ῃ`ι΄ κάθεμα τρη[τὸν φλέγει, ἧ]ϲ̣ ἐπὶ μαϲτῶι
__ ϲυ⟨λ⟩λάμπει λευκῶι χρ̣ω̣τὶ μελιχρὰ φάη.

οὔτ᾽ αὐ⟨χ⟩ὴν ἐφόρηϲε τὸ ϲάρδιον οὔτε γυναικῶν
δάκτυλοϲ, ἠρτήθη δ᾽ εἰϲ χ̣ρυϲέην ἅλυϲιν
Δαρεῖον φορέων ὁ καλὸ̣[ϲ] λί̣θ̣ο̣ϲ — ἅρμα δ᾽ ὑπ᾽ αὐτόν
γλυφθὲν ἐπὶ ϲπιθ̣αμ̣ὴ̣ν μ̣ήκεοϲ ἐκτέτατα̣ι —
φ]έγγοϲ ἔνερθεν ἄγων· κα[ὶ] ἀμύνετα̣ι̣ ἄνθρ[α]καϲ Ἰ̣ν̣δ̣ο̣ύ̣ς̣.
•] αὐγαῖϲ ἐξ ὁμαλο̣ῦ̣ φ̣ωτὸ̣[ϲ] ἐ̣λεγχόμενοϲ·
μ
τριϲ]π̣ί̣θ̣α̣μον περίμετρον· ὃ καὶ τέραϲ, εἰ πλατὺν ὄγκον
__ ἔνδοθε]ν ὑδρη̣λ̣[ὴ] μὴ διαθεῖ νεφέλη.

I.34 Gronewald 2001 [ἧ]ς ἐπὶ μαϲτῶι *ed. pr.* [ὡ]ϲ ἐπὶ μαϲτῶι   I.37 P. χ̣ρυϲέην *ed. pr.* χρυϲέην


© Center for Hellenic Studies

# Column II 3–22

ἠιρής]ω̣ cφρηγ̣[ῖδα], Π̣ολύκρατες, ἀνδρὸc ἀοιδοῦ
    τοῦ φο]ρ̣μίζ[οντος coῖc] π̣αρὰ π̣[οcc]ὶ̣ λύρην
.....]εν κρ̣[.......]. αυγ̣[.. ἔc]χ̣ε δὲ cὴ χείρ
__ ....]ε̣κρ̣[ ± 11 ]. ν[.....]ν κτέανον.

±25 κ]ύλινδρον
    ±27 ].ν
±25 χαρ]άδρηc
• ±28 ]ω̣ν
±25 βαν]α̣ύcου
    ±28 ]ν
±28 ] δ̣ι᾽ αὐτῶν
    ±28 ].ιον
±24 ].[.] Ναβαταῖοc
__ μ̣[......]ν̣ Ἀ̣ρ̣άβ̣ω̣[ν ἱππο]μ̣άχ̣ω̣ν βαcιλεύc.

οὐ̣[χὶ λίθο]c̣ cτίλβουc[α π]α̣νάργυρον, ἀλλὰ θαλάccηc
    Πε̣ρ̣cικὸν αἰγιαλῶν ὄcτρακον ἐ̣νδέδεται.
οὔνομα μαργαρῖτιc· ἔχει δ᾽ ἐ⟨ν⟩ γλύμματι κοίλωι
• [..... λ]ιθω̣ι μορφὰc Ἀγλ̣α̣[ΐηc....]αc
[......]π᾽{α} ὄγκοc ὑπέκτ[......]α̣ κηροῦ
__ [.....] ε̣ἰc γλαφυρὸν γλύ[μμα φυ]λαccομένο̣υ.

II.17 Lloyd-Jones 2001 cτίλβουc[α π]α̣νάργυρον *ed. pr.* cτίλβουc᾽ ἄγ̣α̣ν ἄργυρον


© Center for Hellenic Studies

# Column II 23–38

[.... θα]λάϲϲιόϲ ἐϲτι καὶ ὀϲ̣[τρ....ἀ]λ̣λ᾽ ὑπὸ τέχνηϲ
[......]αιϲ ϲφιγχθεὶϲ κρίν[εται ἡμίλι]θοϲ
[........]..δ̣ε̣π̣.[.]..φ̣[.].λ̣[......].ε̣ ϲμα̣ρ̣άγδου̣
[......]α̣τα κολλήϲαϲ εἰϲ̣[......]ε̣ κύτουϲ̣
[......]νη ἐν χρυϲέηι κατ̣[......]ϲ̣εν ὄφρα φοροίη
__ [......]ϲ λιτὴν γλύμμα ν̣[......].εται.

κ̣[ερδα]λ̣έη λίθοϲ ἥδε· λιπα[ινομένη]ϲ̣ γε μὲν α̣ὐ̣τῆϲ,
• [φέγγο]ϲ̣ ὅλουϲ ὄγκουϲ θαῦ[μ᾽ ἀπάτη]ϲ̣ περιθεῖ·
ὀ̣[ντων] δ̣᾽ ἀ̣ϲ̣κ̣ελέων, ὠκὺ γ[λυπτὸϲ λ]ὶ̣ϲ ὁ Πέρϲηϲ
__ [φα]ί̣ν̣ων ἀϲτράπτει πρὸϲ καλὸν ἠέλιον.

εὖ τὸν Πήγαϲον ἵππον ἐπ᾽ ἠερόεϲϲαν ἴαϲπιν
χεῖρά τε καὶ κατὰ νοῦν ἔγλυφ᾽ ὁ χειροτέχνηϲ·
Βε̣λ̣λ̣ε[ρ]ο̣φό̣ντηϲ μὲ⟨ν⟩ γὰρ Ἀλή{ν}ϊον εἰϲ Κιλίκ̣ω̣ν γῆν
ἥριφ᾽, ὁ δ᾽ εἰϲ κυανῆν ἠέρα πῶλοϲ ἔβη,
[ο]ὕ̣ν̣εκ᾽ ἀ̣ηνιόχητον ἔτι τρομέοντα χαλινοῖϲ
__ [ἵ]π̣π̣[ον ἐν] αἰθερίωι τῶιδ᾽ ἐτύπωϲ⟨α⟩ λίθωι.

II.31 Gronewald 2001 ὀ̣[ντων] *ed. pr.* ὀ̣[γκων] II.32 Gronewald 2001 [φα]ί̣ν̣ων *ed. pr.* [τε]ί̣ν̣ων II.38 Livrea 2002 ἐτύπωϲ⟨α⟩; *ed. pr.* ἐτύπωϲ⟨ε⟩


© Center for Hellenic Studies

# Column II 39 – Column III 13

II 39 οὐ ποταμ]ὸ̣ς κελάδων ἐπὶ χείλεσι̣ν̣, ἀλλὰ δράκοντος
III 1 • εἶχε ποτ᾽ εὐπώγων τόνδε λίθον κεφαλ̣ή̣
2 πυκνὰ φαληριόωντα· τὸ δὲ γλυφὲν ἅρμα κα̣τ̣᾽ α̣ὐ̣τ̣[ο]ῦ̣
3 τοῦθ᾽ ὑπὸ Λυγκείου ⟨βλέ⟩μματος ἐγλύφετο
4 ψεύδεϊ χ⟨ειρ⟩ὸς ὅμοιον· ἀποπλασθὲν γὰρ ὁρᾶτα̣ι̣
5 ἅρμα, κατὰ πλάτεος δ᾽ οὐκ ἂν ἴδοις προβόλους̣·
6 ἧι καὶ θαῦμα πέλει μόχθου μέγα̣, πῶς ὁ λιθου̣ρ̣γός
7 __ τὰς] ἀ̣τενιζούσας οὐκ ἐμόγησε κό̣ρας.

III 8 τὸν πολιὸν κρύσταλλον Ἄραψ ἐπὶ θῖνα κυλίει
9 πόντιον αἰ̈εὶ σπῶν ἐξ ὀρέων ὀχετός
10 πλήθεϊ πολλὴν βῶλον· ὁθούνεκα νήπιοι ἄνδρες
11 • τὸν λίθον εἰς χρυσέας οὐκ ἄγομεν βασάνους·
12 εἰ δ᾽ ἦν ἐ⟨κ⟩ γενεῆς σπάνιος, τὸ διαυγὲς ἂν αὐ̣τ̣ου
13 __ τίμιο⟨ν⟩ ἦν ὥσπερ καὶ καλὸς ἠέλιος.

III.3 *ed. pr.* ⟨βλέ⟩μματος P. ⟨γλύ⟩μματος    III.4 *ed. pr.* χ⟨ειρ⟩ὸς P. χρειὸς  II.39–III.7 This epigram was previously known from Tzetzes (*Chil.* VII 653–660) who transmits the following slightly different version:

οὐ ποταμὸς κελάδων ἐπὶ χείλεσιν, ἀλλὰ δράκοντος
εἶχε ποτ᾽ εὐπώγων τόνδε λίθον κεφαλή
λευκὰ φαληριόωντα· τὸ δὲ γλυφὲν ἅρμα κατ᾽ αὐτοῦ
τοῦθ᾽ ὑπὸ Λυγκείου βλέμματος ἐγλύφετο
ψεύδεϊ χειρὸς ὅμοιον· ἀποπλασθὲν γὰρ ὁρᾶται
γλύμμα, κατὰ πλατέος δ᾽ οὐκ ἂν ἴδοις προβόλου·
εἰ καὶ θαῦμα πέλει μόχθου μέγα, πῶς ὁ λιθουργός
τὰς ἀτενιζούσας οὐκ ἐμόγησε κόρας.



© Center for Hellenic Studies

# Column III 14–27

cκέψαι ὁ Μύcιοc οἷον ἀνερρίζωcεν Ὄλυμποc
τόνδε λίθον διπλῆι θαυμάcιον δυνάμεị·
τῆιδε μὲν ἕλκει ῥεῖα τὸν ἄντη⟨ν⟩ ὄντα cίδη̣ρον
μάγνηc οἷα λίθοc, τῆ⟨ι⟩δε δ᾽ ἄπωθεν ἐλᾶι
πλευρῆι, ἐναντιοεργ⟨ὲ⟩c· ὃ καὶ τέραc ἐξ ἑν̣ὸ̣c̣ α̣ὐ̣τ̣οῦ
__ πῶc δύο μιμ⟨ε⟩ῖται χερμάδαc εἰc προβολάc.

δεῦ]τ᾽ ἐπ᾽, ἔμ᾽, ἐννέα φῶτεc̣, ἀνακλίνθητε̣ δ̣[.....]ε̣ιc̣·
..].ω γὰρ ἐγὼ τρεῖc .[.....].λι..[
οἰνο]χόωι cὺν παιδὶ μ[....] ἀ̣ποδ̣..[
ῥηϊ]δίωc ἔκχουν δεξ[.... ἀ]μφο̣ρέα·
ἠνί]δε· τῆι μὲν πεντά[πεδοc] πά̣χ̣οc, ᾗι δεδ̣[
τῆ]ι δὲ τριcπίθαμοc τ[.....] πιότ̣[ε]ροc
..] τετραγλώχιc πλε[.... ἐ]πὶ μῆκοc ε..[
__ τῆι] μ̣ὲν ἐφ᾽ ἓξ προcθε.[....]ε̣cι, τῆι δ᾽ ἀφ[

III.16 Luppe 2001 τὸν ἄντη⟨ν⟩ ὄντα cίδη̣ρον *ed. pr.*, Livrea 2002 τὸν ἀντή⟨ε⟩ντα cίδη̣ρον III.17–18 Luppe 2001 ἐλᾶι πλευρῆι, *ed. pr.* ἐλᾶι, πλευρῆι III.18 Luppe 2001 ἐναντιοεργ⟨ὲ⟩c *ed. pr.* ἐναντιοεργ⟨ό⟩c· Livrea 2002 ἐναντιοεργ⟨ὲ⟩c· ὃ καὶ τέραc Luppe 2001 ὃ καὶ τέραc, ἐξ ἑν̣ὸ̣c̣ α̣ὐ̣τ̣οῦ *ed. pr.* καὶ τέραc ἐξ ἑν̣ὸ̣c̣ α̣ὐ̣τ̣οῦ, III.19 Luppe 2001 μιμ⟨ε⟩ῖται *ed. pr.* μιμιται


© Center for Hellenic Studies

# Column III 28 – Column IV 6

III συλ]λογίcαι‹ο› μέγ᾽ ἂν τ̣[οῦτον] πόcα κύμα̣[τα πέτρον
τη]λ̣οῦ μαινομένηc ἐξ[εκύλι]ε̣ν ἁλόc·
τό]ν̣δε Ποcειδάων βρι̣α̣[ρῶc ἐδ]όνει καὶ ἀπ[ώcαc
• ῥίμφ᾽]{α} ἐφ᾽ ἑνὸc cκληροῦ κ[ύματο]c̣ ἐ̣ξέ̣βαλεν
ἡμι]πλεθραίην ὡc ἄcπρι̣[ν ἀν]ά̣[ν]τεα πέτρο̣ν,
τοῦ Πολυφημείου cκαιότερ‹ο›ν θυρεό‹ν›·
οὐκ ἄ‹ν› μιν Πολύφημοc ἐβάcταcε, cὺν Γαλατείαι
πυκνὰ κολυμβήcαc αἰπολικὸc δύcερωc·
οὐδ᾽ ἀνταῖο‹ς› ὁ γυρὸc ὀλοίτρ‹ο›χοc, ἀλλὰ τριαίν̣ηc̣
τοῦτο Καφηρείηc τε‹ι›ρα‹τ›οεργὸν ἁλόc·
ἴcχε, Ποcειδᾶον, μεγάλην χέρα καὶ βαρὺ κῦμα
ἐκ πόντου ψιλὴν μὴ φέρ᾽ ἐπ᾽ ἠϊόνα·
τετρακαι̣εικοcίπηχυν ὅτ᾽ ἐ‹κ› βυθοῦ ἤραο λᾶαν,
• __ ῥεῖα καταμήcειc εἰν ἁλὶ νῆcον ὅλην.

IV ὡ̣c πάλαι ὑψηλὴν Ἑλίκην ἐνὶ κύματι παίcαc
π̣ᾶcαν ἅμα κρημνοῖc ἤγαγε‹c› εἰc ἄμαθον,
ὥc̣ ‹κ᾽› [ἐ]π᾽ Ἐλευcῖνα πρηcτὴρ ἑκατό‹γ›γυοc ἤρθηc
εἰ̣ μ̣ὴ Δ̣ημήτηρ cὴν ἐκύν̣ηcε χέρα·
νῦν δέ, Γ̣εραίcτι᾽ ἄναξ, ν̣ήcων μέτα τὴν Πτολεμαίου
ρκς γαῖαν̣ ἀκ̣ινήτην ‹ἴ›cχε καὶ αἰγιαλούc.

III.28 Luppe 2002b συλ]λογίcαι‹ο› μέγ᾽ ἂν τ̣[οῦτον] πόcα κύμα̣[τα πέτρον Lapini 2002 μὴ] λόγιcαι με τάλαν τ̣[αύτη]ν̣ πόcα κύμα̣[τα λᾶαν Livrea 2002 μὴ] λόγιcαι με τάλαν τ̣[όccη]ν̣ πόcα κύμα̣[τα λᾶαν *ed. pr.* μὴ] λόγιcαι με‹γ›άλ‹η›ν τ̣[αύτη]ν̣ πόcα κύμα̣[τα λᾶαν III.29 Livrea 2002 ἐξ[εκύλι]ε̣ν *ed. pr.*, Lapini 2002, Luppe 2002b ἐξ[εφόρηc]ε̣ν III.30 Luppe 2002b τό]ν̣δε Ποcειδάων βρι̣α̣[ρῶc ἐδ]όνει καὶ ἀπ[ώcαc *ed. pr.* τή]ν̣δε Ποcειδάων βρι̣α̣[ρῶc ἐδ]όνει καὶ ἀπ[οκλάc III.32 Luppe 2002b ἡμι]πλεθραίην ὡc ἄcπρι̣[ν ἀν]ά̣[ν]τεα πέτρο̣ν Lapini 2002 ἡμι]πλεθραίην ὥcαc πρὸ[ς ἀν]ά̣[ν]τεα πέτρη̣ν *ed. pr.* ἡμι]πλεθραίην ὥcαc προ̣[τὶ τ]ᾰ̣[c]τεα πέτρη̣ν III.33 Lapini 2002 cκαιότερ‹ο›ν θυρεό‹ν› *ed. pr.*, Luppe 2002b cκαιοτέρ‹η›ν θυρεοῦ III.36 Livrea 2002 ἀνταῖο‹ς› *ed. pr.*, Lapini 2002 Ἀνταί‹ου› *ed. min.* Ἀνταίου


© Center for Hellenic Studies

# Column IV 7–23

IV 7 οἰωνοϲκοπικά

IV 8 νηῒ κα̣θ̣ε̣λκο̣μένηι πά̣ντα πλ⟨ό̣⟩ον ἰνὶ φανήτω
9 ἴρηξ, α̣ἰ̣θυ̣ί̣η̣ϲ̣ οὐ καθαρ̣οπτέ̣ρυγο̣ϲ·
10 δύν̣ω̣ν εἰϲ̣ βυθὸν ὄρ̣νιϲ, ἀνάρϲιοϲ, ἀλλὰ πετέϲθω
11 ὑψο̣ ..[.....]..[....].[..].φ̣᾽ ὅ̣λω̣ϲ·
12 οἷοϲ ἀπ̣ὸ̣ δ̣ρυ̣ὸϲ̣ ὧ̣ρτ̣᾽ ᾿Ι̣ακῆ̣ϲ̣ ὠκ̣ύ̣π̣τ̣ε̣ροϲ ἴρηξ
13 __ ἰ̣ρ̣ῆι, Τί̣μ̣ω̣ν̣, ϲ̣ῆ̣⟨ι⟩ ν̣η̣ῒ καθελκομέν̣η⟨ι⟩.

IV 14 ὄ̣ρ̣νιϲ μ̣ὲ̣ν̣ β̣[ο]υ̣κ̣αῖοϲ ἐπήρατοϲ ἀν̣δρ̣ὶ̣ γ̣εωργῶι
15 φαινέϲθω, λ̣ή̣πτ̣η̣ϲ καὶ περὶ φύτ̣λ̣᾽ ἀ̣γα̣θ̣ό̣[ϲ·
16 ἡμῖν δ᾽ Αἰγύπτου πέλαγοϲ μέλλουϲι διώκειν
17 Θρῆ⟨ι⟩ϲϲα κ̣α̣τ̣ὰ προτόνων ἡγεμονέοι γέρανοϲ,
18 ϲῆμα κυβερνήτη⟨ι⟩ κ̣α̣τ̣α̣δ̣έξιον, ἣ τὸ̣ μέγ̣᾽ [ἔχθει]
19 __ κῦμα, δι᾽ ἠερίων ϲω[ιζο]μ̣ένη πε̣δ̣ίων.

IV 20 ἠερί̣η̣ν̣ α̣ἴ̣θ̣υιαν ἰδὼ[ν ὑπ]ὸ̣ κῦμ[α] θα̣λάϲ[ϲηϲ
21 δυομένην, ἁλιεῦ{ϲ}, `ϲ´ῆ[μα φ]ύλα[ϲ]ϲ᾽{ε} ἀγαθ[όν·
22 καὶ πολυάγκιϲτρον κ[αθίει] κ̣αὶ βά̣λλε ϲαγ[ήνην
23 __ κ]α̣ὶ̣ κύρτουϲ· ἄγρηϲ οὔ[ποτ᾽ ἄ]πε[ι] κεν̣εόϲ.

IV.8 Lapini 2002 πλ⟨ό̣⟩ον Gronewald 2001 π̣λέ̣ο̣ν *ed. pr.* π̣λέ̣ο̣⟨ϲ⟩IV.10 Lapini 2002 ὄρ̣νιϲ, *ed. pr.* ὄρ̣νιϲ IV.18 Gronewald 2001 τὸ μέγ᾽ [ἔχθει] Austin 2002 τὸ μέγ᾽ [ἀθρεῖ] *ed. pr.* τὸ̣ μέγ̣᾽ [εἶϲι]


© Center for Hellenic Studies

# Column IV 24–39

ὄρϲ]ε̣ο τὸν Θηβαῖον ἰδών, ἆ̣[λιον,] μέλα[ν ὄρνιν·
    αἰ]θυίηι πειϲθεὶϲ οὐκ ἀπ̣[ατᾶι] ν̣ε̣αλ̣[έϛ,
...[.]..[..]....[.].[.........].ὲά'υτ.[
•]    π̣ήχει ἐϲ̣ ᾿Αρχυ̣τα[πρόϲ]θεν ἐπά[λλετ᾿ ἄγρη]
ε̣ἰ̣ϲ γὰρ κυματοπλῆγ᾿ ἀκ[τὴν ἵ]ε̣‹τ›᾿ ὄκκ̣υγο[ϛ] ὀμφή,
__ ϲ]ῆμ᾿ εὐαγρείηϲ οὐχ ἑτέ[ροιϲ ἄ]κ̣ριτον.

π̣ρέϲβυϲ ἀνὴρ ἀγαθόϲ τε [καὶ εὐ]ἀ̣ντητοϲ ὁδ̣[οῖο
    καὶ περὶ ναυτιλίηϲ· καὶ γάμον εἰρομ̣[ε]ν̣[
ἔϲτω δὴ ἱερεὺϲ ϲτεφανηφόροϲ ἢ κατ᾿ ἀκ̣[ου]ήν
    ἡβηταῖϲ ἤδη παιϲὶ μέγα φρονέων·
ὡϲ αἰϲχρῶϲ ἤ̣ντηϲε πατ̣ή̣ρ̣ τ̣ε ‹ϲ›ὸϲ ο‹ἵ› τε ϲύ̣να̣ὶμ̣΄οι,
__ εὐδαήρ τε γενοῦ, νύμφα, καὶ εὐέκυρο̣ϲ̣.

οἰκῆα κτήϲαϲθαι ἐρωιδιὸϲ ὄρν‹ιϲ› ἄριϲτοϲ
•    πελλόϲ, ὅν ᾿Α[ϲ]τ̣ε̣ρ̣ί̣η̣ μάντιϲ ἐφ᾿ ἱρὰ καλεῖ·
ὧι πειϲθεὶϲ ῾Ιέρ̣ω̣ν ἐκτ̣[ή̣]ϲ̣α̣το τὸν μὲν ἐπ᾿ ἀγροῦ
__ τὸν δ᾿ οἴκων ἀ̣γαθῶι ϲὺ‹ν› ποδὶ κηδεμόνα

IV.24 Luppe 2002a ἆ̣[λιον,] *ed. pr.* ἁ̣[λιεῦ,] IV.25 Luppe 2002a οὐκ ἀπ̣[ατᾶι] ν̣ε̣αλ̣[έϛ IV.27 Lapini 2002 π̣ήχει ἐϲ̣ ᾿Αρχυ̣τα[πρόϲ]θεν ἐπά[λλετ᾿ ἄγρη] *ed. min.* τ̣ρηχη.ϲ̣ ᾿Αρχυ̣τα[πρόϲ]θεν ἐπᾶ[λτο] or [πρόϲ]θ᾿ ἐν έπα[λτο] IV.28 Luppe (in written communication with the guest editors, 2003) ἀκ[τὴν ἵ]ε̣‹τ›᾿ ὄκκ̣υγο[ϛ] ὀμφή Luppe 2002a ἀκ[τὴν ἶ]κ̣‹τ᾿› ὄκκ̣υγο[ϛ] ὀμφή *ed. min.* ἀκ[τὴν ἵ]ε̣‹θ›᾿ *ed. pr.* ἀκ[τὴν ἶ]κ̣‹θ›᾿ ὁ κρ‹ιτ›ὸ[ϲ] ὄ̣ρ̣[νιϲ IV.35 Lapini 2002 εὐδαήρ τε γενοῦ, νύμφα, καὶ εὐέκυρο̣ϲ̣ *ed. pr.* εὖ δαήρ τε ‹μ›ὲν οὖ‹ν›, νύμφα, καὶ εὖ ἑκυρό̣ϲ̣ P. ευδαηρτεγενουνυμφακαι ευεκυροϲ


© Center for Hellenic Studies

# Column IV 40 – ColumnV 19

τέκνων εἰρ̣[ο]μ̣ένω⟨ι⟩ γενεὴν οἰωνὸϲ ἄριϲτοϲ
  φήνη μαρτυρίην οὐδὲ θεοῦ δέχεται
οὐδὲ ϲυνεδρεῦϲαι μέγαν ἀετόν, ἀλλὰ τελείη{ι}
  φαίνεται· οἰωνῶν χρῆμα τελειότατον,
φήνη παῖδ᾽ ἀγαγοῦϲα καὶ ἐν θώκοιϲ ἀγορητήν
__ ἡδυεπῆ θήϲει καὶ θοὸν ἐν πολέμωι.

ἣν ἀνδρὸϲ μέλλοντοϲ ἐπ᾽ Ἄρεα δήϊον ἕρπειν
• ἀντήϲη⟨ι⟩ κλαίων πρέϲβυϲ ἐπὶ τριόδου,
οὐκέτι νοϲτήϲει κεῖνοϲ βροτόϲ· ἀλλ᾽ ἀναθέϲθω
  τὴν τόθ᾽ ὁδοιπορίην εἰϲ ἕτερον πόλεμον·
καὶ γὰρ Τιμολέων κεκλαυμένοϲ ἦλθεν ὁ Φωκεύϲ
__ ἐ̣κ πολέμου τούτωι ϲήματι μεμψάμενοϲ.

ἐχθρό⟨ν⟩, ἀνὴρ κορυδοὺϲ καὶ ἀκανθί⟨δ⟩αϲ ἢν ἐνὶ χώρωι
  ἀθρήϲη⟨ι⟩· χαλεποὶ ϲύνδυο φαινόμενοι·
ὣϲ Εὐέλθων εἶδε· κακοὶ δέ μιν αὐτὸν ὁδίτ⟨η⟩ν
__ κλῶπεϲ Cιδήνη⟨ι⟩ κτεῖναν ἐν Αἰολίδι.

ξέϲματοϲ ἱδρώϲαντοϲ ὅϲοϲ πόνοϲ ἀνδρὶ πολίτηι
• καὶ δοράτων ὅϲϲ⟨οϲ⟩ προϲφέρεται νιφετ̣ὸ̣ϲ̣·
ἀλλ̣ὰ̣ τὸν ἱδρ[ώϲα]ντα κάλει θεόν, ὅϲτιϲ ἀπώϲε̣[ι]
__ πῦρ ἐπὶ δυ[ϲμε]νέων αὔλια καὶ καλάμα[ϲ].

IV.40–V.1 Lapini 2003 ἄριϲτοϲ φήνη *ed. pr.* ἄριϲτοϲ, φήνη.  V.2 *ed. pr.* ἀλλὰ τελείη{ι} Lapini 2003 ἀλλ᾽ ⟨ὅ⟩τε λ⟨α⟩ιῆι  V.18 Gronewald 2001, Lloyd-Jones 2001 κάλει θεόν, ὅϲτιϲ *ed. pr.* καλεῖ θεὸν ὅϲτιϲ,


© Center for Hellenic Studies

# Column V 20 – Column VI 4

V 20 ἀετὸϲ ἐ⟨κ⟩ νε[φέω]ν καὶ ἅμα ϲτεροπῆι καταβᾶ[ϲα
21 νίκηϲ οἰων[οὶ δε]ξιοὶ ἐϲ πόλεμον
22 Ἀργ⟨ε⟩άδα⟨ι⟩ϲ βα̣[ϲιλε]ῦϲιν, Ἀθηναίη⟨ϛ⟩ δὲ πρὸ ναο[ῦ]
23 ἴχνοϲ κινη[θὲν δε]ξιὸν ἐκ μολύβου·
24 οἷον Ἀλεξά[νδρ]ω̣ι ἐφάνη τέραϲ, ἡνίκα Περϲ̣[ῶν
25 ταῖϲ̣ ἀ̣ν̣α̣ρ̣[ιθμ]ή̣τοιϲ πῦρ ἐκύει ϲτρατιαῖ[ϲ.

V 26 Ἀντιμάχ̣[ωι ϲπ]εύδοντι τὸν Ἰλλυρικὸν ποτ[ὶ ληόν
27 •] τεύχεα κα[ὶ ζώϲ]τραϲ ἐξέφερεν θεράπων·
28 ἀ̣μ̣φ̣ὶ̣ δὲ λαϊν̣[έην] ο̣ἴκου μέϲϲαυλον ὀλιϲθών
29 ἤριπεν· Ἀντ̣[ιμάχ]ου δ’ ἦτορ ἀνετράπετο
30 οἰωνῶι θεράποντοϲ, ὃϲ αὐτίκα τὸν βαρὺν ἥρω̣
31 __ ἐ⟨κ⟩ δή⟨ι⟩ων ὀλίγην ἦλθεν ἄγων ϲποδιήν.

V 32 μεῖζον Ἀριϲτόξεινοϲ ἐνύπνιον ἢ καθ’ ἑω⟨υ⟩τόν
33 ⟨Ὡ⟩ρκὰϲ ἰδὼν μεγάλων νήπιοϲ ὠρέγετο·
34 ᾤιετ’ Ἀθήν{αι}ηϲ γαμβρὸϲ Ὀλυμπίου ἐν Διὸϲ οἴκωι
35 εὕδειν χρυϲείωι πάννυχοϲ ἐν θαλάμωι·
36 ἦ̣ρι δ’ ἀνεγρόμενοϲ δήιων προϲέμιϲγε φάλαγγι,
37 • ὡϲ τὸν Ἀθηναίηϲ ἐ⟨ν⟩ φρενὶ θυμὸν ἔχων·
38 τὸν δὲ θεοῖϲ ἐρίϲαντα μέλαϲ κατεκοίμιϲεν Ἄρηϲ,
39 __ ᾤιχετο δὲ ψευδὴϲ νυμφίοϲ εἰϲ Ἀΐδεω.

VI 1 ἐκ τού⟨του⟩ τοῦ πάντα περιϲκέπτοιο κολωνοῦ
2 Δάμων Τελμ⟨η⟩ϲϲεὺϲ ἐκ πατέρων ἀγαθόϲ
3 οἰωνοϲκοπίαϲ τεκμαίρεται· ἀλλ’ ἴτε φήμ̣η̣ν
4 __ καὶ Διὸϲ οἰωνοὺϲ ὧδ’ ἀναπευϲόμ̣ε̣[νοι.

V.21–23 Lapini 2002 ἐϲ πόλεμον | Ἀργ⟨ε⟩άδα⟨ι⟩ϲ βα̣[ϲιλε]ῦϲιν, Ἀθηναίη⟨ϛ⟩ δὲ πρὸ ναο[ῦ] ἴχνοϲ κινη[θὲν δε]ξιὸν Schröder 2002 ἐϲ πόλεμον | Ἀργ⟨ε⟩άδα⟨ι⟩ϲ βα̣[ϲιλε]ῦϲιν, Ἀθηναίη δὲ πρὸ ναο[ῦ] ἴχνοϲ κινή[ϲαϲ’ ἐ]ξιὸν ἐκ μολύβου· Gronewald 2001 ἐϲ πόλεμον. | Ἀργ⟨ε⟩άδα⟨ι⟩ϲ βα̣[ϲιλε]ῦϲιν *ed. pr.* ἐϲ πόλεμον | Ἀργ⟨ε⟩άδα⟨ι⟩ϲ βα̣[ϲιλε]ῦϲιν, Ἀθηναίη δὲ πρὸ ναο[ῦ] ἴχνοϲ̣ κίνη[ϲεν δε]ξιὸν ἐ⟨κ⟩ μολύβου


© Center for Hellenic Studies

# Column VI 5–29

μάντις ὁ τῶι κόρακι Cτρύμω̣[ν] ὑ̣π̣[ο]κ̣ε̣ί̣μ̣ε̣ν̣[ο]ς ἥρως
    Θρήϊξ ὀρνίθων ἀκρότατος ταμίης·
ὧι τόδ' Ἀλέξανδρος σημήνατο, τρὶς γὰρ ἐνίκα
π• __ Πέρσας τῶι τούτου χρησάμενος κόρακι.

ἀναθεματικά

Ἀρσινόη, σοὶ τοῦτο διὰ στολίδων ἀνεμοῦσθαι
    βύσσινον ἄγκειται βρέγμ' ἀπὸ Ναυκράτιος,
ὧι σύ, φίλη, κατ' ὄνειρον ὀμόρξασθαι γλυκὺν ἱδρῶ
    ἤθελες, ὀτρηρῶν παυσαμένη καμάτων·
ὧς ἐφάνη⟨ς⟩, Φιλάδελφε, καὶ ἐν χερὶ δούρατος αἰχμήν,
    πότνα, καὶ ἐν πήχει κοῖλον ἔχουσα σάκος·
ἡ δὲ σοὶ αἰτηθεῖσα τὸ λευ⟨χ⟩έανον κανόνισμα
__ παρθένος Ἡγησὼ θῆκε γένος Μακέ̣[τη.

Ἀ̣ρσινόη, σοὶ τ̣ή̣[ν]δε λύρην ὑπὸ χειρ[ὸς ὠ⟨ι⟩δο]ῦ̣
•    φ̣θ̣εγξαμ[ένην] δ̣ελφὶς ἤγαγ' Ἀριόνιο̣[ς
ο̣υ̣..ε̣λου[....]α̣ς ἐκ κύματος ἀλλ' οτ[
    κεῖνος αν[....]ς λευκὰ περᾶι πελά[γη
πολλ̣απο[....].τητι καὶ αἰόλα τῆι .[
    φωνῆι π[....]ακον κανον ἀηδο̣ν[
ἄνθεμα δ̣', [ὦ Φιλ]ά̣δελφε, τὸν ἤλασεν [......]ιων,
__ τόνδε δέ̣[χου, .]υσου μ⟨ε⟩ίλια ναοπόλο̣[υ.

Ἀρσινόηι μ̣' [ἀνέθ]ηκεν Ἐπικρατὶς ὧδ' ἐ[πεὶ ὕδω]ρ
    ἐκ φιάλης̣ [ἔπιεν] π̣ρῶτον ἐλευθέριον,
εἶπε τεν[.....] χαῖρέ τ', ἐλευθερίης μ[εδέουσα,
•] __ καὶ δέ̣ξα[ι φιάλη]ν δῶρον Ἐπικρατίδ[ος . ]

VI.18 Lapini 2002 ὑπὸ χεὶρ[ονος ὠ⟨ι⟩δο]ῦ̣ *ed. pr.* ὑπὸ χειρ[ὸς ἀοιδο]ῦ̣ VI.29 Gronewald 2001 δέ̣ξα[ι φιάλη]ν *ed. pr.* δέ̣ξα[ι . . . . ]ν


© Center for Hellenic Studies

# Column VI 30 – Column VII 13

| | | | |
|---|---|---|---|
| VI | 30 | | καὶ μέλλω̣ν ἅλα νηῒ περᾶν καὶ πεῖϲμα καθάπτειν |
| | 31 | | χερϲόθεν, Εὐπλοίαι ʽχαῖ̈ρεʼ δὸϲ ʼΑρϲινόηι, |
| | 32 | | πό]τνιαν ἐ⟨κ⟩ νηοῦ καλέων θεόν, ἣν ὁ Βοΐϲκου |
| | 33 | | ναυαρχῶν Cάμιοϲ θήκατο Καλλικράτηϲ, |
| | 34 | | ναυτίλε, ϲοὶ τὰ μάλιϲτα· κατʼ εὔπλοιαν δὲ διώκει |
| | 35 | | τῆϲδε θ̣εοῦ χρήιζων πολλὰ καὶ ἄλλοϲ ἀνήρ· |
| | 36 | | εἵνεκα καὶ χερϲαῖα καὶ εἰϲ ἅλα δῖαν ἀφιείϲ |
| | 37 | | __ εὐχὰϲ εὑρήϲειϲ τὴν ἐπακουϲομένην. |
| | | | |
| VI | 38 | τ̣[ο]ῦ(το) | ἔμβαλε τῆι Λητοῖ κατʼ ἐμὸν ϲτόμα, μηδὲ φοβηθῆιϲ |
| | 39 | • | δοῦναι παρθήκην εἰ λύκοϲ ὢν ἔχανον· |
| | | / | |
| VII | 1 | | θηϲαυρ̣[όν μʼ] ἀ̣νέθ̣[ηκε] Λύ̣[κοϲ,] ϲὺ δὲ̣ [.....]ρειηϲ |
| | 2 | | __ πευθε.[....]ηκ[ ±13 ].λ.[ |
| | | | |
| VII | 3 | | ἀετοῦ ἐ[ξ ὀνύ]χ̣ω̣[ν ±11 ] χ̣[ελ]ώ̣νη |
| | 4 | | ὑψόθ[εν ±19 κεφα]λή |
| | 5 | | ἀνδ[ ±23 ἡ]μ̣ιθανὴϲ δʼ ἐών |
| | 6 | | ην.[ ±25 ]ϲ̣ |
| | 7 | | λαβρ̣.[ ±20 χελώ]νηϲ |
| | 8 | λη• | ὀϲτ̣[ ±25 ].οϲ. |
| | | | |
| VII | 9 | | [ἐπιτύμβια] |
| | | | |
| VII | 10 | | ἡ ʽΕκατ[ ±26 ].ων |
| | 11 | | κεῖτα̣[ι ±18 ].[.....].[ |
| | 12 | | ϲῶϲ ἔτι κ̣[ ±11 ]η̣ϲιη ἐ⟨κ⟩ δ.[...]ω̣ν |
| | 13 | | __ γνήϲιον ἀμφοτέρω̣ν̣ αἶμʼ, ἀγαθὴ γε̣ν̣ε̣ή̣. |


© Center for Hellenic Studies

# Column VII 14–35

ἦλθεν ἐπ’ εὐϲεβέων Νικοϲτράτη ἱερὰ μυ̣ϲ̣τῶν
    ὄργια καὶ καθαρὸν πῦρ ἐπὶ Τριπτολέ̣[μου.
ἣν ἄψ ἡ φι̣[λίη κάτε]χ̣ε̣ν̣ Ῥαδαμάνθυοϲ [αὐλή·
    Αἰακὸϲ ἔ[ϲχεν αὐτὴ]ν̣ δῶ̣μ̣α̣ πύλα̣ϲ̣ τ’{ε} [Ἀΐδεω
τ̣έκνων̣ [πλῆθοϲ] ἰδο̣ῦϲαν· ἀεὶ δ̣’ ἁπα[λώτερο]ϲ̣ οὕτω
__ ἀνθρώπ̣[οιϲ λυγρ]ο̣ῦ γήραόϲ ἐϲτι λιμή[ν.

ἐκ τέκνω̣[ν νεάτ]η̣ν δυοκαίδεκα καὶ .[.....]ϲ̣α.
    παρθένο̣[ν ἔκλαιο]ν Πέλλ̣[α] καὶ Εὐιάδ̣[εϲ
αἳ τρίϲ, ἐπ[ειδὴ Μοῖ]ρα Διωνύϲοιο θερά[πνην
__ Νικὼ Β̣αϲ̣[ϲαρικῶν] ἤγαγε̣ν ἐξ ὀρέων̣.

ἡ Μαραθη[νὴ τῇιδ]ε φίλαϲ ἀνέπαυϲε Κ̣[.....]α̣
    ϲὺν γήρα̣ι̣ [χαλεπῶ]ν χεῖραϲ ⟨ἀ⟩φ’ ἱϲτοπόδ[ων,
ὀγδωκοντ[αέτιϲ μέ]ν̣, ἔτι κρέξαι δὲ λιγε[ίαι
    κερκίδι λε[πταλέον] ϲ̣τήμονα δυναμ̣έ[νη·
χαιρέτω ἐκ̣ [καμάτ]ων ὁϲίη γυνή, ἥτ̣ι̣ϲ̣ ἀ̣τ̣[ρ]ύ̣[τ]ω̣[ι
__ ζωῆι θυγατέρων πέμπτον ἐπεῖδε θέροϲ.

γρηῢϲ ἐγὼ χερνῆτιϲ ἐπὶ̣ βρεφέεϲϲιν ἐγήρων,
    μιϲθία ⟨Φ⟩ωκαϊκῆϲ Βατὶϲ Ἀθηνοδίκηϲ,
εἴρια παιδεύουϲα κομεῖν καὶ νήματα μίτραι̣ϲ̣
    π⟨α⟩ιπαλέαι⟨ϲ⟩ τρητῶν πλέγματα κεκρυφάλων·
α⟨ἵ⟩ δ’ ἤδη θαλάμων ἐπὶ νύμφιον οὐδὸν ἰοῦϲα̣⟨ι⟩
    τὴν ναρθηκοφόρον γρηῢν ἔθαπτον ἐμέ.

VII.16 Livrea 2002 ἣν ἄψ ἡ φι̣[λίη κάτε]χ̣ε̣ν̣ Ῥαδαμάνθυοϲ [αὐλή· *ed. pr.* ἣν ἄψ ἡ φ..[.....]... Ῥαδαμάνθυοϲ [    VII.17 Livrea 2002 Αἰακὸϲ ἔ[ϲχεν αὐτὴ]ν̣ *ed. pr.* Αἰακὸϲ ε[......]. VII.32 Livrea 2002 μίτραι̣ϲ̣ *ed. pr.* μίτραιϲ    VII.33 Livrea 2002 π⟨α⟩ιπαλέαι⟨ϲ⟩ *ed. pr.* ποι⟨κίλα κ⟩αὶ P. ποιπαλεαι    VII.34 Livrea 2002 ἰοῦϲα̣⟨ι⟩ *ed. pr.* ἰοῦϲα⟨ι⟩


© Center for Hellenic Studies

# Column VII 36 – Column VIII 12

οὗτος Ὀνασαγορᾶτι⟨ν⟩ ἔχει τάφος, ἥτις ἐπεῖδε
    τέκνα τε καὶ τέκν̣[ω]ν̣ εἰρομένας γενεάς,
τετράκ⟨ις⟩ εἴκοσι πλῆθος· ἕν' ὀγδώκοντ' ἄ[ρα] παίδω[ν]
•  χερσὶ παλαίγηρως στήθεσιν ἐτρέ̣[φετ]ο.
ἣν ἑκατοντ̣α̣έτιν Πάφιοι μακαριστὸν Ὀν[ασᾶ]
__  θρέμμα πυ[ριβρώτ]ωι τῆιδ' ἐπέθ⟨ε⟩ντο κόνει.

τοῦθ' ἱκανὸ̣ν̣ ϲ̣υνετῆι Βιθ̣υνίδι το⟨ὐγ⟩γύθι κεῖϲ[θαι
    τῆι δούλη̣[ι χ]ρ̣ηϲτῶν, ὦ Θέμι, δεϲποτέων·
οὐ γὰρ] ἐ̣λευθ̣ερί̣ηι προϲεμόχθεον, εὖ χαριτοῦμ[αι,
__  ἥτις ἔ]χ̣ω̣ ϲ̣τήλην κρέϲϲον' ἐλευθερίηϲ.

ὀξέα κωκ]ύ̣ο̣υϲ̣α Φιλαίνιον ὧδε ϲὺν αὐλῶι
    [........ μ]ελέην Ἡγεδίκην ἐτίθει
ὀκ̣[τωκαιδε]κέτι̣ν, μέγα δάκρυον· αἱ δὲ λίγ[ε]ι̣α̣ι̣
    κε⟨ρ⟩κ[ίδες αἱ]η̣νῶ̣[ν] αἶψα καθ' ἱϲτοπόδω̣ν̣
ἔρ̣[ριπτον βόμβ]υ̣κα· τὸ γὰρ χρύϲεο̣ν̣ ϲ̣τό̣μα κο̣ύ̣[ρ]η̣ϲ̣
__  [ϲιγηλὸν] ζ̣οφερῶι τῶιδε μένει θαλάμωι.

VII.38–39 Austin 2002, R. Kassel (apud Austin 2002) ὀγδώκοντ' ἄ[ρα] παίδω[ν] | χερϲὶ παλαίγηρωϲ ϲτήθεϲιν ἐτρέ̣[φετ]ο. Lloyd-Jones 2002 ὀγδώκοντα [δὲ] παίδω[ν] | χερσὶ παλαίγηρως στήθεσιν ἐτρέ̣[φετ]ο *ed. pr.* ὀγδώκοντ̣' ἀ̣[πὸ] παίδω[ν] | χερϲὶ παλαίγηρωϲ ϲτήθεϲιν ἐτρέ̣[φετ]ο. VIII.7 *ed. min.*, Livrea 2002 ὀξέα κωκ]ύ̣ο̣υϲ̣α Battezzato 2003 [ὀξέα κωκ]ύσασα P. ]υ̣ο̣υϲ̣α VIII.8 *ed. min.*, Livrea 2002, Battezzato 2003 [μήτηρ τὴν μ]ελέην VIII.10 *ed. min.* [αἰ]η̣νῶ̣[ν] Livrea 2002 [αἰπε]ι̣νῶ̣[ν] VIII.11 Livrea 2002 ἔρ̣[ριπτον βόμβ]υ̣κα *ed. min.*, Battezzato 2003 ἐρ̣ρ̣[ίπτοντο] *ed. pr.* ε..[......].[...].κα P. ἐρ̣[........] VIII.12 Battezzato 2003 [ϲιγηλὸν] *ed. min.* ἄψυχον Livrea 2002 [ἔμψυχον]


© Center for Hellenic Studies

# Column VIII 13–34

VIII 13 κ̣υάνεον νέφος ἦλθε δι' ἄcτεος, ἡνίκα κούρην
14 τοῦθ' ὑπὸ cῆμα τιθεὶc ἔcτενεν Ἠετίων,
15 ἀγκαλέων Ἡδεῖαν ἑὸν τέκος, ἧc Ὑμέναιος
16 ἠρίον οὐ θαλάμου χερcὶν ἔκοψε πύλην·
17 ⟨ἐμ⟩παθὲc ἄλγ̣[οc......] πόλει, ἀλλὰ τὰ κείνων
18 __ ἀcτῶν ἀ̣ρκε̣[ίτω δάκρυ]α καὶ cτοναχαί.

VIII 19 ʽδακρυόεccα[ι ἔπεcθε, θε]οῖc ἀνατείνατε πήχειc',
20 • τοῦτ' ἐπὶ πα[ιδὸc ἐρεῖτ' αὐ]τ̣ό̣μ̣αται, Καρύαι,
21 Τηλεφίη̣c̣, ἧc̣ [νεῖcθε πρὸ]c̣ ἠρίον· ἀλλὰ φέρουcαι
22 εἴαρι πορ̣φυρέ̣[ου φύλλ' ἐc ἀ]γῶνα νέμουc
23 θῆλυ ποδήν[εμοι ἔρνοc] ἀ̣είδετε, δάκρυcι δ' ὑμέων
24 __ κολλάcθω Cα[πφῶι' ἄιcμ]ατα, θεῖα μέλη.

VIII 25 Τίμω̣ν̣, ὅ⟨c⟩ cκιό[θηρον ἐθή]κατο τοῦθ', ἵνα μετρῆι
26 ὥραc, ν̣ῦ̣ν ἴδ' ἐκ̣[εῖ κεῖται ὑπ]αὶ πεδίον·
27 Ἄcτη παῖc θ[εραπεύει, ὁ]δοιπόρε, τὴν ἔλιφ', ⟨εἴ⟩ωc
28 ἐνδέχετ' ἐλπ[ίδ' ἔχειν π]α̣ρθένον ὡρολογε̣ῖν·
29 ἀλλὰ cὺ γῆραc ἱ̣κοῦ, κούρ̣η· παρὰ cήματι τούτω̣ι̣
30 • __ cωρὸν ἐτέων μέτρει τὸν καλὸν ἠέλιον.

VIII 31 Καλλιόπη, cὺ μὲν ὧδε· cὲ δὲ κλαίουcιν ἑταῖραι,
32 παρθένε, καὶ λυπρὴν τὴν τότε παννυχίδα,
33 ἧι cὺ καθ' ὑψηλοῦ τέγεο̣c κάλλιcτον ἄγαλμα
34 __ μητρὶ πα̣ρ' Οὐρανίηc Κύπριδοc ἐξέπεcε̣c̣.

VIII.16 *ed. pr.* Austin 2002 ἠρίον Lloyd-Jones 2002 ἠρίου VIII.17 Austin 2002 ⟨ἐμ⟩παθέc Lloyd-Jones 2002 ⟨εὐ⟩παθὲc or ⟨ἐμ⟩παθὲc *ed. pr.* ⟨cυμ⟩παθὲc Lloyd-Jones 2002 κείνων *ed. pr.*, Austin 2002 κεινῶν Gronewald 2001 τὰ κειν⟨ὰ⟩ VIII.19 *ed. pr.*, Battezzato 2003 ʽδακρυόεccα[ι ἔπεcθε, θε]οῖc Livrea 2002 δακρυόεccα[ι ἄδην ἀνέμ]οιc VIII.20 *ed. pr.* ἐπὶ πα[ιδὸc ἐρεῖτ' Livrea 2002 ἐπὶ πα[ιδὸc ἐμῆς VIII.21 Gronewald 2001, Battezzato 2003 ἧc̣ [νεῖcθε πρὸ]c̣ ἠρίον *ed. pr.* ἧc̣ [κεῖcθε πρὸ]c̣ ἠρίον VIII.22 Battezzato 2003 [φύλλ' ἐc ἀ]γῶνα; [κλῶν' ἐc ἀ]γῶνα VIII.23 Battezzato 2003 ποδήν[εμοι ἔρνοc] *ed. pr.* ποδήν[εμον ἔρνοc]


© Center for Hellenic Studies

# Column VIII 35 – Column IX 14

δάκρυϲι, γαῖα, πέφυρϲαι· ἀδελφειοὶ γὰρ ἔθαψαν
    ϲὺ⟨ν⟩ πυρὶ τὴν δεκ̣έτιν Μυρτίδα καὶ μελέην,
αἷμ̣α τὸ Κυρηναῖον· ὁ δὲ ζώ⟨ω⟩ν τότ̣’ ἀπευ̣θ̣ήϲ
    Νικάνωρ ἄλλουϲ γῆϲ ἐπέ̣βαι̣ν̣εν ὅρου̣ϲ

. . . . .

*desunt vv. 2*

πάντα τὰ Νικομάχηϲ καὶ ἀθύρματα καὶ πρὸϲ ἑώιαν
    κερκίδα Ϲα⟨π⟩φώιουϲ ἐξ ὀά⟨ρ⟩ων ὀάρουϲ
ὤιχετο Μοῖρα φέρουϲα προ{ϲ}ώρια· τὴν δὲ τάλαιναν
    παρθένον Ἀργείων ἀμφεβόηϲε πόλιϲ,
Ἥρηϲ τὸ τραφὲν ἔρνοϲ ὑπ’ ὠλένο⟨ϲ⟩· ἃ τότε γαμβρῶν
__ τῶν μνηϲτευομένων ψύχρ’{α} ἐγένον⟨το⟩ λ⟨έ⟩χη.

πέντε μὲν ὠδίνεϲϲιν ἐπήρατο τόξον Ἐλευθώ,
    δῖα γύναι, κ̣ατὰ ϲ̣ῶν ἱϲταμένη λ̣ε̣χέων·
ἕ]κτηϲ δ’ ἐξ ὠδῖνοϲ ἀπώλεο, καὶ τὸ ϲὸν ἔϲβη
•   τέ̣κνον ἐν ἑβδομάτωι νήπιον ἠελίωι
μ̣αϲτὸν ἔτι ϲπαργῶντα μετατρέ̣χον, ⟨ἡ⟩δὲ ϲυναπτόν
    δ̣ά̣κρυ κατ’ ἀμφοτέρων ἤλυθε τυμβοχόων·
π̣έντε μὲν οὖν, Ἀϲιῆτι γύναι, μακάρεϲϲι μελήϲει
__ τέκνων, ἓν δ’ ἐπὶ ϲοῖϲ γούναϲι κ̣α̣ὶ̣ ϲ̣ὺ κομεῖϲ

IX.6 Livrea 2002 ἐγένον⟨το⟩ λ⟨έ⟩χη *ed. pr.* ἔ⟨μ⟩ενον λ⟨έ⟩χεα P. εγενονλοχεα


© Center for Hellenic Studies

# Column IX 15–40

τικτούϲηϲ ποτὲ παῖδα Φιλωνίδοϲ̣ ἄγρ̣ιο̣[ϲ] ο̣ὕ̣τ̣ω
    ϲπ̣εῖραν ὑπὲρ κεφαλῆϲ ἐξεκύλιε[ν ὄφιϲ,
κ]υ̣άνεον φολίδωμα· πυρὸϲ δ' αἴ̣θ̣ω̣[ν ϲέλαϲ ὄϲϲοιϲ,
    αὐ]χενίουϲ ἤδη τείνετ' ἐπὶ π̣λ̣[οκάμουϲ·
κα]ὶ τὸν μὲν κόλποιϲ ὠρέξατο π̣αῖδ[α πάσασθαι,
• δει]ν̣όν, τῆϲ δὲ φόβωι γυῖ{α} ὑπέλυϲε̣ [λεχοῦϲ·
ἔϲχα]τά γ' ἐκ τεράων ἔπαθεϲ, γύναι, ἀλ̣[λὰ τὸ θρέμμα
__ ϲῶν] τότε καὶ πολιὴν ἔϲχε χρόνωι κε[φαλήν.

ὡϲ ἐ]π̣ὶ νύμφιον ἦλθε λέχοϲ Πρῶτιϲ [κιθαρωιδόϲ
    μητ]ρ̣όθε, παρθενίουϲ οὐ⟨κ⟩έτ' ἔβη θα[λίαϲ
ἠχήϲ]αϲα νόμον Β̣οιώτιον, ἀλλ' ἐνιαυτ̣[ῶν
    πέντ]ε φιληθείϲαϲ ἀνδρὶ ϲυνῆν δεκά̣[δαϲ
.....]ωϲ, καὶ τέκνα μετ' ἀνδράϲιν ἡ̣[λικιώταιϲ
__ ε]ὔ [πο]ρ̣'[{α}] ἰ̣δοῦϲ' εὔπλουϛ ᾤιχετ' ἐπ' εὐϲ̣[εβέων.

ὄλβια γηράϲκουϲα Μενεϲτράτη [
• ὀγδοάτην ἐτέων εἶδεϲ ὅλην [δεκάδα,
καὶ δύο ϲοὶ γενεαὶ παίδων ἐπιτή̣[δεον ὤρθουν
    ϲηκόν· ἔχειϲ ὁϲίαϲ ἐ⟨κ⟩ μακάρων χάρι[ταϲ·
γρηῢ φίλη, μετάδοϲ λιπαροῦ μεγα[
__ γήρωϲ τοῖϲ ἱερὸν ϲῆμα παρ̣ε̣ρ̣[χομένοιϲ.

τοῦτ' ἐπαραϲάμενοϲ Μνηϲίϲ̣τ̣ρ̣α̣τ̣[οϲ ἄρτι κέλευθον
    τὴν ἀπὸ πυρκαϊῆϲ εἰϲ Ἀΐδεω κατέβη·
'μὴ κλαύϲ̣ητέ με, τέκνα, φίλην δ' ἐπὶ πατρὶ κονίην
    ψ̣[υχρ]ῶι παππ⟨ώ⟩ιωϲ χώϲατ' ἐπ' ἐ̣ϲχατιῆϲ·
ἑξηκον]τ̣αέτηϲ γὰρ ἀπ' ἠέροϲ οὐ βαρύγηρωϲ
[• __ ἔρχομ' ἐπ' ε]ὐ̣ϲεβέων ἀλλ' ἔτι κοῦφοϲ ἀνήρ'.

IX.19 Livrea 2002 [πάσασθαι *ed. pr.* [λαβέϲθαι IX.21 Livrea 2002 ἀλ̣[λὰ τὸ θρέμμα *ed. pr.* ἀλ̣[λὰ ϲὸϲ υἱόϲ IX.22 Livrea 2002 ϲῶν] *ed. pr.* ϲῶϲ]


© Center for Hellenic Studies

# Column X 1–15

X ἴϲχε π̣όδαϲ παρὰ ϲῆμα, τὸν εὔγηρῶ τε προϲεῖπον
πρέϲβυν ᾿Αρίϲτιππον — τῆιδε γάρ ἐ̣ϲτ̣ι θ̣αν̣ών̣ —
καὶ τὸν ἀδάκρυτον βλέψον λίθ̣ον· οὗτοϲ ἐκ̣είνωι
τῶι κ̣ατὰ γῆϲ ὁ λίθο̣ϲ κοῦφο̣ν ἔπεϲτι βάροϲ·
τέκν̣α γὰρ αὐτὸν ἔθαπτε φιλαίτατ̣ον ἀν̣δ̣ρ̣ὶ γ̣έροντι
ρις• __ κτῆ̣μ᾿{α̣}, ὁ δὲ θυγατ̣έ̣ρ̣ων̣ εἶδε καὶ ἄλλ̣ο γένοϲ.

X ἀνδριαν̣τ̣ο̣π̣οιι̣κά

X μιμ̣[ή]ϲαϲθε τάδ᾿ ἔ̣ργα, πολυχρονίουϲ̣ δὲ κολοϲϲῶν,
ὦ ζ[ωι]ο̣πλάϲται̣, ν̣[αί,] π̣αραθεῖτε νόμουϲ·
εἴ γε μὲν ἀρχαῖαι̣ [Δρυ]ό̣πα χέρεϲ, ἢ ῾Αγελάιδηϲ
ὁ πρὸ Πολυκ⟨λ⟩είτο[υ πά]γχυ παλαιοτέχ̣νηϲ,
ἢ οἱ Δ⟨αιδαλιδῶν⟩ ϲκληρ̣[οὶ τύ]ποι εἰϲ πέδ̣ον ἐλθεῖν,
Λυϲίππου νεάρ᾿ ἦν οὐδ̣[ε]μ̣ία πρόφαϲιϲ
δεῦρο παρεκτεῖναι βαϲ̣ά̣ν̣ο̣υ̣ χάριν· εἶ̣[τα] δ᾿ ἐ̣ὰ̣⟨ν⟩ χρ̣ῆ̣ι̣
__ καὶ πίπτηι ⟨ὦ⟩θ̣λο⟨ϲ⟩ κ̣α̣ι̣ν̣οτεχνέων̣, π̣ε̣ρ̣έϲηι

X.9 *ed. pr.* ν̣[αί]; Battezzato 2003 ν̣[ῦν] 10 Livrea 2002 Δ̣[ρυ]ό̣πα *ed. pr.* .[..].πα X.12 Livrea 2002 Δ⟨αιδαλιδῶν⟩ Gutzwiller 2002 Δ⟨αιδαλίδου⟩ *ed. pr.* Διδυμίδου X.15 Livrea 2002 π̣ε̣ρ̣έϲηι *ed. pr.* .ε.εϲηι P. πετεϲηι (cf. *ed. min.*, Lapini 2002) *ed. min.* πέραϲ ἦν Lapini 2002 κἀκπίπτηι⟨ϛ⟩ ⟨ὦ⟩θλο⟨υ⟩, κ̣α̣ι̣ν̣οτεχνέων̣, ⟨γ⟩ε̣ π̣εϲῆι


© Center for Hellenic Studies

# Column X 16–33

X 16 τ̣όνδε Φιλίται χ̣[αλ]κ̣ὸ̣ν̣ [ἴ]ς̣ο̣ν̣ κατὰ πάν⟨θ⟩'{α} Ἑκ̣[α]τ̣αῖος
17 • ἀ]κ̣[ρ]ι̣β̣ὴς ἄκρους̣ [ἔπλ]α̣ς̣ε̣ν εἰς ὄνυχας,
18 καὶ με]γέθει κα̣[ὶ σα]ρ̣κ̣ὶ τὸν ἀνθρωπιστὶ διώξας
19 γνώ̣μο]ν', ἀφ' ἡρώων δ' οὐδὲν ἔμ̣ε̣ιξ'{ε} ἰδέης,
20 ἀ̣λλὰ τὸν ἀκρομέριμ̣ν̣ον ὅλ̣[ηι κ]α̣τεμάξατο τέχνηι̣
21 πρ]έ̣σβυν, ἀληθείης ὀ̣ρ̣θὸ̣ν̣ [ἔχων] κ̣ανόνα·
22 αὐδήσ]οντι δ' ἔοικε̣ν̣, ὅσωι πο̣ι̣κ̣ί̣λλεται ἤθει,
23 ἔμψυχ]ο̣ς, καίπερ χάλκεος ἐὼν ὁ γέρων·
24 ἐκ Πτολε]μ̣αίου δ' ὧδε θ̣εοῦ θ' ἅμα καὶ βασιλ⟨ῆ⟩ος
25 __ ἄγκειμ]α̣ι Μουσέ{ι}ων εἵνεκα Κῶιος ἀνήρ.

X 26 αἴ]ν̣ε̣έ γ'{ε} Ἰδομεν⟨ῆ⟩α θέλων χάλκειον ἐκ̣ε̣ῖ̣ν̣[ον
27 •] Κ̣ρησίλ⟨α⟩· ὡς ἄκρως ἠργάσατ' εἴδομεν εὖ·
28 γ]α̣ρ̣ύ̣[ει] Ἰδομενεύς· 'ἀ̣λ̣[λ'] ὦ̣ 'γα̣θ̣ὲ̣ Μ̣ηριόνα, θ̣εῖ,
29 __ .......] πλάσται δ̣ὰ̣ν̣ [ἀνό]ν̣η̣τος ἐών'.

X 30 Λύσιππε,] πλάστα Σικυώ̣[νιε, θαρσ]α̣λέα χείρ̣,
31 δάϊε τεχνί]τ̣α, πῦρ τοι ὁ χα[λκὸς ὁρ]ῆι,
32 ὃν κατ' Ἀλεξά]ν̣δρου μορφᾶς ἔθε̣υ̣· οὔ τί γε με̣μ̣πτοί
33 __ Πέρσαι· συγγνώ]μ̣α βουσὶ λέοντα φυγεῖν.

X.24 Bernardini-Bravi 2002:151 make the important observation that two readings are equally possible: [ἐκ Πτολε]μ̣αίου, proposed by Bastianini-Gallazzi 2001 in the *ed. pr.*, signifying the sponsor of the statue, or [ἐν Πτολε]μ̣αίου, signifying the place where the sculpture was dedicated. Bastianini-Gallazzi reject the latter reading, reasoning that the ode is enough indication of the place. However, Bernardini-Bravi 2002: 152 cite parallels in Callimachus, AP VI 150 and *Hymn to Delos*, 76; Theocritus XVII.114; and Posidippus himself in *SH* 705.16-17. Both proposed readings must remain hypothetical.
X.25 Scodel 2003 ἄγκειμ]αι *ed. pr.* ἄγκειτ]αι X.29 Lapini 2002 [ἀνό]ν̣η̣τος *ed. pr.* [ἀδό]ν̣η̣τος
X.30–33 This epigram is previously known from the *Greek Anthology* 16.119, where it does not exhibit doricisms and is transmitted as follows:
Λύσιππε, πλάστα Σικυώνιε, θαρσαλέη χείρ,
δάϊε τεχνίτα, πῦρ τοι ὁ χαλκὸς ὁρῆι,
ὃν κατ' Ἀλεξάνδρου μορφᾶς χέες· οὔ τί γε μεμπτοί
Πέρσαι· συγγνώμη βουσὶ λέοντα φυγεῖν.


© Center for Hellenic Studies

# Column X 34 – Column XI 11

X 34 [ ±13 ].ηcε τὸ βοίδιον ἄξιον ὁλκῆc
35 [ ±14 ] κ̣αὶ τριcεπαργύριον
36 [ ±13 ] χεῖρα, cο̣φὸν χρέοc̣ εἰ δ' ἐπ' ἀδό̣ξου
37 • __ [ ±11 ἀλ]λὰ Μύρων ἐπόει.

X 38 ±14 ]..[..]. ἄντυγος ἐ‹γ›γύθεν ἄθρει

καὶ κέντ̣ρ̣α̣ (XI 30)

XI 1 τῆc Θεοδω̣ρεί̣ηc̣ χ̣ειρὸc ὅcοc κάματο̣c̣·
2 ὄψει γὰρ ζυ̣γό̣δεc̣μα καὶ ἡνία καὶ τροχὸν ἵππων
3 ἄξονά ‹θ›'[{ε} ἡνιό]χου τ̣' ὄ̣μ̣μα κα̣ὶ ἄκρα χερῶ̣ν̣·
4 ὄψει δ' εὖ [ ±12 ]...ε̣ο̣c̣, ἀ̣λ̣λ' ἐπ̣ὶ τ̣ῶιδ̣ε
5 __ ἐ̣ζομέν[ην ±15 ] μ̣υ̣ῖαν ἴδοιc.

XI 6 ἤθελον Ἠ̣έ̣λι̣ο̣ν̣ Ῥ̣όδιο̣ι̣ π̣[εριμάκε]α θ̣ε̣ῖν̣αι̣
7 δὶc τόc̣ον, ἀ̣λ̣λ̣ὰ Χάρηc Λί̣ν̣διο̣[c] ὡ̣ρίc̣ατο
8 μ̣ηθ̣ένα̣ τεχνίταν ἔ‹τ›ι μείζο̣να̣ [τ]ο̣ῦ̣δ̣ε̣ κ̣[ο]λ̣οccό̣ν
9 • θήcειν̣· εἰ δὲ Μύ̣ρων εἰc τετρ̣ά̣π̣[ηχ]υ̣ν̣ ὅ̣[ρον
10 cεμ̣νὸc ἐ̣κεῖνοc̣ ἀ̣ν̣ῆ̣κ̣ε̣, Χάρηc π̣ρ̣ῶ̣[τοc μ]ε̣τ̣ὰ τέχνα[c
11 __ ζ̣ῶ̣‹ι›ο̣ν ἐ̣χαλ̣κούργε̣ι̣ γ̣ᾶc̣ μεγ[......].[..]ν̣

X.36 Gronewald 2001 εἰ δ' ἐπ' ἀδό̣ξου *ed. pr.* εἶδ' ἐπ' ἀδό̣ξου


© Center for Hellenic Studies

# Column XI 12–32

| | | | |
|---|---|---|---|
| XI | 12 | | εἶμ̣αι χ̣ά̣λκε̣ι̣α̣ π̣ρ̣οτ...[ ±10 ].του μ̣ο̣υ̣ |
| | 13 | το[ῦ(το)] | Τ̣υδεὺϲ μηπ[ ±20 ]ν̣ο̣ϲ̣ |
| | 14 | | ε̣ἰ δ᾽ ἐπιθιξει̣[ ±20 ]. Μ̣ύρων εὖ |
| | 15 | | __ θῆκ᾽ ἐπ᾽ ἔμ᾽ ἱμ̣[άτιον ±15 ]ϲ̣ |
| | | | |
| XI | 16 | το̣ῦ(το) | καὶ τὰ Πολυκ̣[λείτου ±12 ] π̣ά̣ν̣τ̣ω̣ν̣ |
| | 17 | | ϲάρκ̣ινα̣ καὶ θ̣.[ ±18 ]α̣ι̣ |
| | 18 | | πάντ᾽ ἐπ᾽ ᾽Αλεξά̣[νδρου ±14 χ]ε̣ιρῶν |
| | 19 | ν• | __ τῶν Λυϲιππε̣[ίων ±19 ]ϲ̣ |
| | | | |
| XI | 20 | | ἱππι̣κ̣ά̣ |
| | | | |
| XI | 21 | | οὗτοϲ ὁ μουνοκέληϲ Αἴθω̣ν ἐμὸϲ ἥ̣[ρατο νίκην |
| | 22 | | κἀγὼ τὴν αὐτὴν Πυθιάδα ϲτ̣[εφόμην· |
| | 23 | | δὶϲ δ᾽ ἀνεκηρύχθην ῾Ιππόϲτρ[ατοϲ] ἀ̣θλοφ̣[όροϲ τ᾽] ἦ̣ν |
| | 24 | | __ ἵπποϲ ὁμοῦ κἀγώ, πότνια Θεϲϲα̣λ̣ία. |
| | | | |
| XI | 25 | | τοῦ πώλου θηεῖϲθε τὸ λιπαρέϲ, ὡϲ πνόον ἕλκει |
| | 26 | το̣ῦ(το) | παντὶ τύπωι καὶ πᾶϲ ἐ⟨κ⟩ λαγόνων τέταται |
| | 27 | | ὡϲ νεμεοδρομέων· Μολύκωι δ᾽ ἤνεγκε ϲέλινα |
| | 28 | | __ νικήϲαϲ ἄκρωι νεύματι καὶ κεφαλῆι. |
| | | | |
| XI | 29 | | εὐθὺϲ ἀπὸ γραμμῆϲ ἐν ᾽Ολυμπίαι̣ ἔ̣τρεχον οὕτω |
| | 30 | τοῦ(το) • | κέντρα καὶ ἐξῴ[ϲειϲ οὐδ᾽ ἐπιδεξά]μενοϲ, |
| | 31 | | ἁδὺ βάροϲ ταχυ[τᾶτι.......ἐϲτ]εφάνωϲαν |
| | 32 | | __ θαλλῶι Τρυγαῖ[ον .......]..[.].[ο]υ |

XI.21–22 Austin apud *ed. pr.* (Bastianini-Gallazzi 2001) suggested XI.21 ἵ̣[ππος] and XI.22 στ̣[άδιον], suggestions which were not adopted by the editors. Bernardini-Bravi 2002 reject these readings and cite parallels in XIII 15 and AP VI 135.


© Center for Hellenic Studies

# Column XI 33 – Column XII 15

ἐν Δελφοῖϲ ἡ πῶλο̣ϲ ὅτ᾽ ἀντιθέουϲα τεθρίπποιϲ
ἄξον‹ι› Θεϲϲαλικῶι κοῦφα ϲυνεξέπεϲε
νεύματι νικήϲαϲα, πολὺϲ τότε θροῦϲ ἐλατήρω̣ν̣
ἦν ἀμφικτύοϲιν, Φοῖβ᾽{ε}, ἐν ἀγωνοθέταιϲ·
ῥάβδουϲ δὲ βραχέεϲ χαμάδιϲ βάλον, ὡϲ διὰ κλή̣ρου
νίκηϲ ἡ̣νιόχων οἰ̣ϲομένων ϲ̣τ̣έ̣φανον·
ἥδε δὲ δεξιόϲειρα χαμαὶ ν̣εύ̣ϲα[ϲ᾽ ἀ]κ̣ερ̣αίων
ἐ̣[κ ϲ]τ̣ηθ̣έ̣ω̣ν α̣ὐ̣τ̣ὴ̣ ῥ̣ά̣β̣δ̣ο̣ν ἐφειλκύϲα[το,
ἡ̣ δ̣ε̣ι̣ν̣ὴ̣ θ̣ή̣λεια μετ᾽ ἄρϲεϲιν· αἱ δ᾽ ἐβόηϲ[αν
φθ̣έ̣γ̣μ̣α̣τ̣[ι] π̣α̣ν̣δήμ̣ωι ϲ̣ύμμιγα μυριάδ[εϲ
κ̣ε̣[ίν]η̣ι̣ κ̣η̣ρ̣ῦ̣ξαι ϲ̣τ̣έ̣φανον μ̣έγαν· ἐν θ̣ο̣ρ̣[ύβωι δέ
Κα̣λ̣[λικ]ρ̣ά̣τ̣ηϲ δάφνη‹ν› ἥρα̣τ̣᾽ ἀνὴρ Ϲάμ̣ι̣ο̣[ϲ,
Θ̣ε̣ο̣ῖ̣ϲ̣ι̣ δ᾽ Ἀ̣δ̣[ε]λ̣φε{ι}οῖϲ εἰκὼ ἐναργέα τῶν τότ᾽ [ἀγώνω]ν̣
__ ἅρ̣[μα καὶ ἡνί]ο̣χον χάλκεον ὧδ᾽ ἔθετο.

ἅρ̣[ματι νικῶϲαι ταὶ] τ̣έϲϲαρεϲ εἵλομε‹ϲ› ἁ[μέ]ϲ̣
ἵ̣ππο̣ι̣ θ̣ή̣[λειαι] π̣ὰρ Διὸϲ ἁνιόχου,
Πιϲ̣ᾶ̣τ̣[αι, ϲτέφα]ν̣[ο]ν τὸν Ὀλ̣υ‹μ›πικὸν ἄλλον ἐπ᾽ ἄλλωι
__ [.]..ι̣...[..].[...] τ̣ο̣ῦ̣ Λ̣α̣κεδ̣αιμονίου.

ἐκ̣τ̣έ̣τα[τ]α̣ι̣ π̣[ρ]ο̣τ̣[ρ]έ̣χ̣ω̣ν̣ ἀκρώνυχοϲ, ὡϲ Ἐτεάρχωι
οὗ]τ̣ο̣ϲ̣ κ̣[λεινὸϲ Ἄ]ρ̣α̣ψ ἵππο̣ϲ ἀεθλοφορεῖ·
[ν]ι̣κήϲ[α]ϲ̣ Πτ̣ο̣λ̣εμ̣α̣ῖ̣α καὶ Ἴϲθ̣μια καὶ Νεμέαι δίϲ,
__ [τ]ο̣ὺ̣ϲ̣ Δελφο̣ὺ̣ϲ̣ π̣α̣[ριδ]ε̣ῖ̣ν̣ οὐκ ἐθ̣έ̣λει ϲτεφάνουϲ.


© Center for Hellenic Studies

# Column XII 16–39

XII 16 τ̣[ο]ῦ(το) ἅρμ̣[ατι ±11 ]. τε̣λέωι τ̣ρὶϲ Ὀ̣[λύμ]π̣ι̣α νικῶ
17 Εὐ.[ ±13 ο]ὐ̣κ ὀλ̣ί̣γαι̣ δαπ̣[άνα]ι
18 α.[ ±15 ] κ̣ομιδᾶϲ .[.....].[
19 __ εἶ̣ γ' ἀ̣[ρ]κ̣ε̣ῖ δόξαι, λείπ̣ε̣ται οὐ[δ]ὲν ἐμοί.

XII 20 ε]ἴπατε, πάντεϲ ἀοι̣δ̣ο̣ί, ἐ̣μὸν̣ [κ]λέο̣ϲ̣, ε[ἴ] π̣[οτ' ἀρέϲκει
21 •] γνωϲτὰ λέγειν, ὅτι μοι δ̣ό̣ξ[α παλαιόγονοϲ·
22 ἅρματι μὲ⟨ν⟩ γάρ μοι προπάτω̣[ρ Πτολεμ]α̣ῖοϲ ἐν̣[ίκα
23 Πιϲαίων ἐλάϲαϲ ἵππον ἐπὶ ϲτα[δίων,
24 καὶ μήτηρ Βερενίκη ἐμοῦ πατ[ρόϲ· ἅ]ρ̣[μ]ατι δ' αὖτ̣[ιϲ
25 νίκην εἷλε πατὴρ̣ ἐ̣⟨κ⟩ βαϲι̣λέω̣[ϲ] βαϲ̣[ι]λεύϲ
26 πατρὸϲ ἔχων ὄνομα· ζευκτ̣[ὰϲ δ'] ἐξ̣ήρατο̣ πάϲαϲ
27 Ἀρ̣ϲινόη νίκαϲ τρεῖϲ ἑνὸϲ ἐξ ἀέ̣[θλου·
28 πα̣[τρὸϲ νῦν κέλομαι] γένοϲ ἱερὸν [... γυ]ν̣αικῶν
29 κε[κλῆϲθαι θεῖον] παρθένιοϲ [βαϲιλί]ϲ
30 τα̣[ῦ]τ̣[α] μ̣ὲ[ν εὔχε' ἐ]π̣εῖδεν Ὀλυ̣[μπ]ί̣α̣ [ἐξ ἑ]νὸϲ οἴκ̣ο̣υ̣
31 • ἅρμαϲι καὶ παίδων παῖδαϲ ἀεθ̣λ̣ο̣φόρο̣[υ]ϲ̣·
32 τεθρίππου δὲ τελείο⟨υ⟩ ἀείδετε τὸν Βερ[ε]ν̣ί̣κη̣[ϲ
33 __ τ̣ῆϲ βαϲιλευούϲηϲ, ὦ Μακέτα[ι], ϲτέφανο̣ν.

XII 34 παρθένοϲ ἡ βαϲίλιϲϲα ϲὺν ἄντυ[γ]ι̣, ν̣αί, Βερε̣νίκη
35 πάνταϲ ἅμα ζευκτοὺϲ ἀθλοφορεῖ ϲτεφάνουϲ,
36 Ζ̣εῦ παρὰ ϲοὶ Νεμε̣ᾶτα· τάχει δ' ἀ̣πελί⟨μ⟩πανεν ἵππω̣ν̣
37 δίφρο̣ϲ̣ ἐπε̣ὶ̣ [κάμψα]ι τὸν πολὺν ἡνίοχον,
38 δαλ[οῖϲ δ' εἴκελοι ἵ]π̣ποι ὑπὸ ῥ[υ]τῆρι θέοντεϲ
39 πρ[ῶτοι ἐϲ Ἀ]ρ̣γο̣λικοὺϲ ἦλθον [ἀγω]νοθέταϲ.

XII.28 Livrea 2002 πα̣[τρὸϲ νῦν κέλομαι] *ed. min.* πα̣[τρὸϲ νῦν τιμῶ] XII.29 Livrea 2002 κε[κλῆϲθαι θεῖον] παρθένιοϲ [βαϲιλί]ϲ *ed. min.* κέ[κλημαι φέγγος] παρθένιοϲ [βαϲιλί]ϲ XII.37 Gronewald 2001 ἐπε̣ὶ̣ [κάμψα]ι *ed. pr.* ἐπε̣ὶ̣ [κάμψη]ι


© Center for Hellenic Studies

# Column XIII 1–22

±34 ]λ̣οιϲ
±19 ]. [ϲ]τ̣ε̣φ̣α̣ν̣[ο]υ̣[
±19 ]ο̣χον, ὦ Νέμεε Ζεῦ
__ ±16 ]τ̣οῦτ᾽ ἐπ̣ὶ παιδὶ μόνηι.

[ ±16 Δ]ωρικὰ φύλλα ϲελίνων
.[ ±18 ].ε μίαν κεφαλήν
[ ±27 ].[.].ων
__ π̣[ ±20 ἅρμ]α̣τι δὶϲ τελέωι.

ε̣[..].[ ±16 ]γα τὸν Βερενίκηϲ
.[.]κ̣[ ±15 ]. ἵ̣π̣π̣ο̣ν̣ ἐ̣π̣ὶ̣ ϲταδίων,
τ̣ὴ̣ν̣ δὲ̣ [πολυϲτέφα]νον Μακέτην πέλαϲ̣ Ἀ̣κ̣ρ̣[ο]κ̣[ο]ρ̣ί̣ν̣θ̣[ο]υ̣
παῖδα τὸ Πε̣ι[ρήνηϲ ϲε]μ̣νὸν ἐθαύμαϲ᾽ ὕδωρ
ϲὺ⟨ν⟩ πατρὶ Π[τολ]ε̣[μ]α̣ίωι· ἐκήρυξαϲ γὰρ ἐν Ἰϲθμῶι
__ τοϲϲάκιϲ ἀθ̣λ̣[οφ]ό̣ρον δῶμα μόνη βαϲιλίϲ.

Θεϲϲαλὸϲ ὀξ̣[ύτα⟨θ⟩᾽]{α} ἵπποϲ Ὀλύμπια μουνοκέληϲ τρίϲ
νικῶν ἄγ[κειμ]α̣ι μνῆμ᾽{α} ἱερὸν Ϲκοπάδαιϲ
π̣ρ̣ῶτοϲ κ̣[αὶ μ]όνοϲ οὗτοϲ· ἐλέγχετε, τρὶϲ γὰρ ἐνίκων
__ [καλῶ ἐπ᾽ Ἀλ]φ̣ειῶι, μάρτυρεϲ Ἰαμίδαι.

πρῶτοϲ, Ὀλυ]μπιονῖκα, ϲὺ τὸν ταχὺν ἵππον ἔλουϲαϲ
τοῦτον ἐν Ἀλ]φειῶι, Θεϲ̣ϲαλ⟨ὲ⟩ ⟨Φ⟩υλο⟨π⟩ίδα,
....... μ]έγα δῶμα μεθύϲτερον ἐϲτεφανώθη
__ .......]ϲ̣ι πρῶται θειότεραι χάριτεϲ.

XIII.16 Livrea 2002 ἄγ[κειμ]α̣ι *ed. pr.* ἄγ[κειτ]α̣ι

XIII.18 Livrea 2002 [καλῶ ἐπ᾽ Ἀλ]φ̣ειῶι *ed. pr.* [..... ἐπ᾽ Ἀλ]φ̣ειῶι


© Center for Hellenic Studies

# Column XIII 23 – Column XIV 1

XIII 23 ἀθλοφόρο]ν ταχυτᾶτι διάκριτον ἵππον Ἀμύντας
24 τοῦτον ἀ]π' οἰκείας ἀγαγόμ⟨α⟩ν ἀγέλας
25 π̣ρ̣[ὸ]ς ς̣[έ, Ζε]ῦ Πιcᾶτα, καὶ οὐ κατέλυcα παλαιᾶc
26 __ δόξ̣α̣ς̣ [εἰν] ἵπποι̣ς̣ πατρίδα Θεccαλίαν.

XIII 27 τοῦ(το) ...ι̣...το̣μ̣εν.. θ̣ρ̣αcὺ̣ς̣ ἔ̣δραμε· καὶ γὰρ ἐνίκα
28 ἵ̣π̣π̣ο̣ς̣ [ὅ]δ' ἐν Νεμέαι τετ̣ρ̣άκ̣ιc οἰοκέληc
29 καί̣ τ̣ε̣ [δ]ὶ̣c ἐν Πυθοῖ cτάδιον Μ̣[ε]ς̣ς̣ήνιοc Αἴθων,
30 __ ⟨χἀ⟩[κά]τ̣ερ' Εὐβώταν ἐcτεφ[ά]ν̣ωcεν ἐμέ.

XIII 31 ἵ̣π̣[ποι] ἔθ' ἁμὲc ἐοῦcαι Ὀλυμ[πια]κ̣ὸν Βερενίκαc
32 •] Π̣[ι̣]ς̣ᾶ̣[τ]α̣ι, Μακέταc ἀγάγομ[ε]ς̣ cτέφανον,
33 ὃc τ̣ὸ̣ [πο]λυθρύλα̣τον ἔχει κλ̣έ̣ο̣c, ὧι τὸ Κυνίcκαc
34 __ ἐν Cπ̣ά̣[ρ]ται χρόνιον κῦδοc ἀφειλόμεθα.

XIII 35 πρῶτο[ι] τρεῖc βαcι̣λ̣ῆεc Ὀλύμπια καὶ μόνοι ἁμὲc
36 ἅρμαcι νικῶμεc̣ κ̣α̣ὶ γονέεc καὶ ἐγώ·
37 ε̣ἷc μ̣ὲν ἐγὼ̣ [Π]τολεμαίου ὁμώνυμοc, ἐ⟨κ⟩ Βερενίκαc
38 υ̣ἱ̣[ὸc], Ἐορδαία γέννα, δύω δὲ γονεῖc·
39 π̣ρ̣ὸ⟨c⟩ μέγα πατρὸc ἐμὸ⟨ν⟩ τίθεμαι κλέοc, ἀλλ' ὅτι μάτηρ
XIV 1 ϙη• __ εἷλε γυνὰ νίκαν ἅρματ⟨ι⟩, τοῦτο μέγα.

XIII.39 *ed. pr.* π̣ρ̣ὸ⟨c⟩ μέγα πατρὸc ἐμὸ⟨ν⟩ Gronewald 2001 ⟨κ⟩οὐ μέγα πατρὸc ἐμὸ⟨ν⟩ P. π̣ρ̣ο̣υ μέγα πατρὸc εμου XIV.1 *ed. pr.* ἅρματ⟨ι⟩ Gronewald 2001 ἅρματο


© Center for Hellenic Studies

# Column XIV 2–18

ναυαγικά

Λυϲικλέουϲ̣ κεφαλὴν ὁ κενὸϲ τάφοϲ οὗτοϲ ἀπαιτεῖ
δάκρυ χέων, καὶ θεοῖϲ μέμφεται οἷ᾽ ἔπαθεν
το⟨ῦ⟩ξ Ἀκαδημείαϲ̣ πρῶτ̣[ον ϲ]τ̣όμα, τὸν δέ που ἤδη
__ ἀκταὶ καὶ πολιὸν κῦμ᾽{α} [ἴδε τρυχόμενον.

ὤλεϲεν Ἀρχεάνακτα [.].[........ ἐπὶ λε]π̣ρήν
Cκῦρον ἐν Αἰγαίωι νηχόμενον π̣[ελάγει,]
γῆν ἔνθεν τε καὶ ἔνθεν ὁρώμενον· ἀλλὰ θα̣λ̣[ά]ϲϲηϲ
__ διϲτάδιο̣ν πολλῶν μακρότερον πεδίων.

τετράκι βουλεύϲαιο καὶ ἓν τότε κῦμα πλοΐζου·
• μὴ ταχὺϲ Εὐξείνου γίνεο ποντοπόροϲ,
τοῦτον ἰδὼν κενεὸν Δώρου τάφον, ὃν Παριανῶν
__ τῆλ᾽ ἐμοῦ εἰκαῖαι θῖνεϲ ἔχουϲιν ἁλόϲ.

νηὸϲ ἀπολλυμένηϲ ϲυναπώλετο πᾶϲ ἅμ᾽ ἀεργὸϲ
ναύτηϲ, νηχο̣μ̣έ[νωι δ᾽ οὐκ ἄ]ρ̣᾽ ἦε̣ν̣ τ̣ι̣ φυγή·
τὸ⟨ν⟩ γὰρ ἐπ᾽ ἄμ[μον ± 12 ]α̣ δαίμων,
νηχόμενον [ ±16 ].ϲ.

XIV.6 Livrea 2002 [ἴδε τρυχόμενον *ed. pr.* [ἐπέχουσιν ἁλός XIV.11 Gronewald 2001 ἓν τότε *ed. pr.* ε⟨ἴ⟩ ⟨π⟩οτε XIV.13–14 Gronewald 2001 ὃν Παριανῶν | τῆλ᾽ ἐμοῦ εἰκαῖαι θῖνες ἔχουϲιν ἁλός *ed. pr.* ὃν παρ᾽ ἰ⟨κ⟩άνων | τῆλ᾽ ἐμοῦ εἶ καὶ ⟨μ᾽⟩ αἱ θῖνες ἔχουσιν ἁλός XIV.15 Gronewald 2001 ἅμ᾽ ἀεργὸϲ *ed. pr.* ἁμαεργὸς XIV.16 Livrea 2002 νηχο̣μ̣έ[νωι δ᾽ οὐκ ἄ]ρ̣᾽ ἦε̣ν̣ τ̣ι̣ φυγή· *ed. pr.* νηχο̣μ̣έ[νωι δ᾽ ἦν ..]..ε̣ν̣τι φυγή XIV.17 Livrea 2002 ἄμ[μον ἔβαλλεν ὀλέθριον ἤλιθ]α̣ Austin apud *ed. min.* ἐπαμ[πίσχων σωτήριος ἠρέμ]α̣ *ed. pr.* τὸ⟨ν⟩ γὰρ ἐπ᾽ ἄμ[μον ± 12 ]α̣ δαίμων XIV.18 Livrea 2002 [κενεὴν ἐλπίδα ἀπωσμεν]ο̣ς Austin apud *ed. min.* [ψυχρῆς ἐξεσάωσεν ἁλ]ο̣ς *ed. pr.* νηχόμενον [ ±16 ].ϲ.


© Center for Hellenic Studies

# Column XIV 19 – Column XV 2

το⟨ν⟩ χρηστὸν Πύθερμον, ὅπου ποτέ, γαῖα μέλαινα,
ἴϲχειϲ, ὤλετο γὰρ ψυχρο⟨ῦ⟩ ἐπ᾽ Αἰγόκερω,
κοῦφα περίϲτειλον· πόντου πάτερ, εἰ δὲ ϲὺ κεύθειϲ,
• ἄπληκτον ψιλὴν ἔ⟨κ⟩θεϲ ἐπ᾽ ἠϊόνα
ἐν περιφαινομένωι Κύμηϲ, καὶ τὸν νέκυν, ὡϲ χρή,
__ πατρώιηι, πόντου δέϲποτα, γῆι ἀπό̣δ̣ο̣ϲ̣.

ναυηγόν με θανόντα καὶ ἔκλαυϲεν καὶ ἔθαψ̣εν
Λεώφαντοϲ ϲπουδῆι, καὐτὸϲ ἐπειγόμενοϲ
ὡϲ ἂν ἐπὶ ξείνηϲ καὶ ὁδοιπόροϲ· ἀλλ᾽ ἀποδοῦναι
κϛ• Λεωφάντ̣ωι μεγάλην μικκὸϲ ἐγὼ χά̣ριτα.

ἰαματικά

οἷοϲ ὁ χάλκεοϲ οὗτοϲ ἐπ᾽ ὀϲτέα λεπτὸν ἀνέλκων
πνεῦμα μόγι̣[ϲ] ζ̣ωὴν ὄμματι ϲυλλέγ̣ε̣ται,
ἐ⟨κ⟩ νούϲων̣ ἐϲάου το⟨ί⟩ουϲ ὁ τὰ δεινὰ Λιβύ̣ϲ̣ϲηϲ
δήγματα φ̣α̣ρμά̣⟨ϲ⟩ϲειν ἀϲπίδοϲ εὑρόμενοϲ̣
Μήδειοϲ Λάμπωνοϲ Ὀλύνθιοϲ, ὧι πανάκειαν̣
τὴν Ἀϲκληπιαδῶν πᾶϲαν ἔδωκε̣ πατήρ·
ϲοὶ δ᾽, ὦ Πύθι᾽ Ἄπολλον, ἑῆϲ γνωρίϲματα τέχνηϲ
__ λείψανον ἀνθρώπου τόνδ᾽ ἔθετο ϲκελε̣τ̣όν.

πρὸϲ ϲὲ μὲν Ἀντιχάρηϲ, Ἀϲκληπιέ, ϲὺν δυϲὶ βάκτροιϲ
• ἦλθε δι᾽ ἀτραπιτῶν ἴχνοϲ ἐφελκόμενοϲ·
ϲοὶ δ̣[ὲ θυη]π̣ολέων εἰϲ ἀμφοτέρ̣ο̣[υ]ϲ̣ πόδαϲ ἔϲτη
__ καὶ τὸ π̣[ο]λ̣υχρόνιον δέμνιον ἐξέφυγε.

XIV.28 *ed. pr.* μικκὸϲ Lapini 2002, Thomas 2003 Μίκκοϲ


© Center for Hellenic Studies

# Column XV 3–22

ἰητήρια ϲοὶ νούϲων, Ἀϲκληπιέ, Κῷοϲ
    δωρεῖται Ϲωϲῆ⟨ϲ⟩ ἀργυρέην φιάλην,
οὗ ϲὺ τὸν ἑξαέτη {α}κάματόν ⟨θ⟩' ἅμα καὶ νόϲον ἱ{ε}ρήν,
__ δαῖμον, ἀποξύϲαϲ ᾤχεο νυκτὶ̣ μ̣ιῆι.

ἓξ ἔτη Ἀρχύταϲ ὀλοὸν χάλκευμ̣α̣ φ̣υ̣λ̣ά̣ξ̣α̣ϲ̣
    ἐ⟨ν⟩ μηρῶι μ̣[αλερὴν] π̣υθομένην ἀμ̣υ̣χ̣ῆ̣[ν,
Παιάν, ϲ' εὔ[νοον εἶδεν ἐπῳ]δυνο̣ϲ̣, ὡ̣ϲ ἐπ̣' ὀ̣νείρωι
__ τὸν πολὺν ἰηθ̣ε̣ὶ̣[ϲ ἐξέφυγ]εν κάματον.

ὁ Κρὴϲ κωφὸϲ ἐὼν Ἀϲκλ̣[ᾶϲ, μὴ] τοῖοϲ ἀκούειν
    αἰγιαλῶν οἷοϲ μηδ' ἀνέμων̣ πάταγον,
εὐθὺϲ ἀπ' εὐχωλέων Ἀϲκληπιοῦ οἴκαδ' ἀπή⟨ι⟩ει,
__ καὶ τὰ διὰ πλίνθων ῥήματ' ἀκουϲόμενοϲ.

ἡνίκ' ἔδει Ζήνωνα τὸν ἥ̣ϲυχον ὕπνον ἰαύειν,
    πέμπτον ἐπ' εἰκοϲτῷ̣ι τυφλὸν ἐόντα θέρει,
ὀγδωκο̣ν̣τ̣α̣έτ̣η̣ϲ ὑγι̣ὴϲ γένετ', ἠέλιον δέ
__ δὶϲ μοῦ̣[νος καὶ δὶς τὸ]ν̣ βαρὺν εἶδ'{ε} Ἀΐδην.

ὄλβον̣ ἄ̣ρ̣ι̣ϲ̣τ̣ο̣ϲ̣ ἀ̣ν̣[ήρ], Ἀ̣ϲκληπιέ, μέτριον αἰτεῖ
– ϲοὶ δ' ὀρέγειν πολλὴ βουλομένωι δύναμιϲ –
αἰτεῖται δ' ὑγί⟨ει⟩αν, ἄκη δύο· ταῦτα γὰρ εἶναι
λβ    ἠθέων ὑψηλὴ φαίνεται ἀκρόπολιϲ.

XV.8 Livrea 2002 μ̣[αλερὴν] *ed. pr.* μ̣[......]    XV.9 Livrea 2002 ἐπῳ]δυνο̣ϲ̣ *ed. pr.* ἀνῴ]δυνο̣ϲ̣ XV.11 Lapini 2002 μὴ] τοῖοϲ *ed. pr.* μη]δ̣' οἷοϲ Gronewald 1993 μὴ δοιόν    XV.12 Lapini 2002 οἷοϲ Gronewald 1993 ⟨δ⟩οιός Voutiras 1994 οἷο⟨ν⟩ Gigante 1993 αἰγιαλῶν ⟨ἦχον⟩ Angiò 1996 αἰγιαλ⟨οῖο ῥόθον⟩ *ed. pr.* αἰγιαλ⟨οῦ ῥόθιον⟩    XV.18 Lapini 2002 δὶϲ μοῦ̣[νος καὶ δὶς τὸ]ν̣ βαρὺν εἶδ'{ε} Ἀΐδην *ed. pr.* δὶϲ μοῦ̣[νον βλέψας τὸ]ν̣ βαρὺν εἶδ'{ε} Ἀΐδην Hutchinson 2002 δὶϲ μοῦ̣[νον βλέψας τὸ]ν̣ βαθὺν εἶδ'{ε} Ἀΐδην Parsons apud Hutchinson 2002 δὶϲ μοῦ̣[νον βλέψας τὸ]ν̣ βαθὺν εἶδ'{ε} Ἀΐδην


© Center for Hellenic Studies

# Column XV 23–35

τρόποι

τί πρὸc ἔμ’ ὧδ’ ἕcτητε; τί μ’ οὐκ ἠάcατ’ ἰαύειν,
εἰρόμενοι τίc ἐγὼ καὶ πόθεν ἢ ποδαπόc;
cτείχε⟨τε⟩ μου παρὰ cῆμα· Μενοίτιόc εἰμι Φιλάρχω
__ Κρὴc, ὀλιγορρήμων ὡς ἂν ἐπὶ ξενίης.

οὐδ’[{ε}] ẹ̓περωτῆcaç με νόμ̣οῠ χάριν οὔτε πόθε⟨ν⟩ γῆc
εἰμ̣ὶ παραcτείχειc ọ̣ὔτẹ [τίc ο]ὔτε τίνων·
ἀλλὰ cύ μ’{ε̣} ἡ̣c̣ụχ̣ί[ωc ἴδε κείμεν]ọν, εἰμὶ δ’ ἐγὼ παῖc
__ Ἀλκαίου Cωc̣ῆc̣ Κ̣ῶ[ιοc, ὁμόc, φίλ]ε, cοῦ.

cτῆθι τεταρ̣π̣[όμενοc - γέραc ε]ὔ̣μετρọν̣, ọ̣ὐ̣ μέγα c’{ε} αἰ[τῶ]-
ὡc γνῶιc̣ [Cτίλπωνοc μ’ ἔμμεν’] Ἐρ̣ετριέα·
εἰ δὲ βάδην ὑπάγẹịc̣, μ̣[άθ]ẹ καί, φ̣ίλε, τὸν Μενεδήμ⟨ωι⟩
__ cυ{ν}cχολάcαντ’ ἐcọ[ρῶν, Ζεῦ] π̣ά̣τερ, ἀνδρὶ cοφῶι.

XV.32 P. αἰ[τῶ] *ed. pr.* αἰτ[ῶ] XV.33 Livrea 2002 [Cτίλπωνοc μ’ ἔμμεν’] *ed. pr.* [ ±15 ]
XV.35 Gronewald 2001 ἐcọ[ρῶν, Ζεῦ] *ed. pr.* ἐc ὅ̣[λον, Ζεῦ]


© Center for Hellenic Studies

# Column XV 36 – Column XVI 17

XV 36 προϲφωνήϲ̣α̣[τε τοῦτον,] ὑ̣πὸ ϲ̣τήλ̣η̣ι γὰρ ὁ πρέϲβυϲ̣
37 κεῖται, τῶν ἑ̣[κατὸν] πέντ’ ἀφ̣ε̣λ̣ὼ̣ν̣ ἔ̣τ̣εα,
38 Ἀδραμυτην[ὸϲ ἀ]νήρ· Τιμάνθ̣ε̣ο̣ϲ Ἀδρ̣α̣μυτη̣νέ
XVI 1 __ Βάτ̣τε μάκα[ρ

XVI 2 εἴπ̣ατε τὸν κ̣[
3 χαῖ̣ρ’ Ἡγήϲα.[
4 ἧϲ γὰρ τουτ[
5 [•] __ γ̣ρά̣μ̣ματα π̣[

XVI 6 κεῖμ̣α̣ι ἐπ’ ἐθ[ν
7 οὐδὲ προϲα[
8 ξεῖνε, πρὸϲ αὐ[
9 __ ἀϲπάζου φιλ[

XVI 10 εὖγ’ ὅτ’ ἰδεῖν ..[
11 [..].ι̣τ̣α̣λ̣λα̣[
12 τ̣[ο]ῦ νέκυοϲ τη.[
13 __ ϲώιζου, βελτιϲτ[

XVI 14 πῶϲ [..]..ουϲ.[
15 • ϲιγη̣[
16 νη[
17 λβ __ ψυχρο̣.[


© Center for Hellenic Studies

# Column XVI 18–28

XVI 18 [

XVI 19 εἴαρος ἡ̣ Ζεφ[υρ
20 β.[
21 κα.[
22 __ [ὀ]κ̣νεῖν καὶ [

XVI 23 πᾶν τε̣τ̣α̣.[
24 [
25 λ.[
26 __ [

XVI 27 τοῦ(το) .[
28 • .[

. . . . .


© Center for Hellenic Studies

Concordance

Key: AB = Austin/Bastianini editio minor of P. Mil. Vogl. VIII 309
GP = Gow/Page Greek Anthology  SH = Lloyd-Jones/Parsons Supplementum Hellenisticum  * Denotes a disputed or doubly ascribed work  º Denotes a fragment or a reference by an ancient author to a work that has not survived

***Milan Papyrus***

*Lithika*

| | |
|---|---|
| AB 1 | I 2-5 |
| AB 2 | I 6-9 |
| AB 3 | I 10-13 |
| AB 4 | I 14-19 |
| AB 5 | I 20-23 |
| AB 6 | I 24-29 |
| AB 7 | I 30-35 |
| AB 8 | I 36-II 2 |
| AB 9 | II 3-6 |
| AB 10 | II 7-16 |
| AB 11 | II 17-22 |
| AB 12 | II 23-28 |
| AB 13 | II 29-32 |
| AB 14 | II 33-38 |
| AB 15 | II 39-III 7 |
| AB 16 | III 8-13 |
| AB 17 | III 14-19 |
| AB 18 | III 20-27 |
| AB 19 | III 28-41 |
| AB 20 | IV 1-6 |

*Oionoskopika*

| | |
|---|---|
| AB 21 | IV 8-13 |
| AB 22 | IV 14-19 |
| AB 23 | IV 20-23 |
| AB 24 | IV 24-29 |
| AB 25 | IV 30-35 |
| AB 26 | IV 36-39 |
| AB 27 | IV 40-V 5 |
| AB 28 | V 6-11 |
| AB 29 | V 12-15 |
| AB 30 | V 16-19 |
| AB 31 | V 20-25 |
| AB 32 | V 26-31 |
| AB 33 | V 32-39 |
| AB 34 | VI 1-4 |
| AB 35 | VI 5-8 |

*Anathematika*

| | |
|---|---|
| AB 36 | VI 10-17 |
| AB 37 | VI 18-25 |
| AB 38 | VI 26-29 |
| AB 39 | VI 30-37 |
| AB 40 | VI 38-VII 2 |
| AB 41 | VII 3-8 |

*Epitymbia*

| | |
|---|---|
| AB 42 | VII 10-13 |
| AB 43 | VII 14-19 |
| AB 44 | VII 20-23 |
| AB 45 | VII 24-29 |
| AB 46 | VII 30-35 |
| AB 47 | VII 36-VIII 2 |
| AB 48 | VIII 3-6 |
| AB 49 | VIII 7-12 |
| AB 50 | VIII 13-18 |
| AB 51 | VIII 19-24 |
| AB 52 | VIII 25-30 |
| AB 53 | VIII 31-34 |
| AB 54 | VIII 35-38 |
| AB 55 | IX 1-6 |
| AB 56 | IX 7-14 |
| AB 57 | IX 15-22 |
| AB 58 | IX 23-28 |
| AB 59 | IX 29-34 |
| AB 60 | IX 35-40 |
| AB 61 | X 1-6 |

*Andriantopoiika*

| | |
|---|---|
| AB 62 | X 8-15 |
| AB 63 | X 16-25 |
| AB 64 | X 26-29 |
| AB 65 | X 30-33 |
| AB 66 | X 34-37 |
| AB 67 | X 38-XI 5 |
| AB 68 | XI 6-11 |
| AB 69 | XI 12-15 |
| AB 70 | XI 16-19 |


© Center for Hellenic Studies

*Hippika*

| | |
|---|---|
| AB 71 | XI 20-24 |
| AB 72 | XI 25-28 |
| AB 73 | XI 29-32 |
| AB 74 | XI 33-XII 7 |
| AB 75 | XII 8-11 |
| AB 76 | XII 12-15 |
| AB 77 | XII 16-19 |
| AB 78 | XII 20-33 |
| AB 79 | XII 34-39 |
| AB 80 | XIII 1-4 |
| AB 81 | XIII 5-8 |
| AB 82 | XIII 9-14 |
| AB 83 | XIII 15-18 |
| AB 84 | XIII 19-22 |
| AB 85 | XIII 23-26 |
| AB 86 | XIII 27-30 |
| AB 87 | XIII 31-34 |
| AB 88 | XIII 35-XIV 1 |

*Nauagika*

| | |
|---|---|
| AB 89 | XIV 3-6 |
| AB 90 | XIV 7-10 |
| AB 91 | XIV 11-14 |
| AB 92 | XIV 15-18 |
| AB 93 | XIV 19-24 |
| AB 94 | XIV 25-28 |

*Iamatika*

| | |
|---|---|
| AB 95 | XIV 30-37 |
| AB 96 | XIV 38-XV 2 |
| AB 97 | XV 3-6 |
| AB 98 | XV 7-10 |
| AB 99 | XV 11-14 |
| AB 100 | XV 15-18 |
| AB 101 | XV 19-22 |

*Tropoi*

| | |
|---|---|
| AB 102 | XV 24-27 |
| AB 103 | XV 28-31 |
| AB 104 | XV 32-35 |
| AB 105 | XV 36-XVI 1 |
| AB 106 | XVI 2-5 |
| AB 107 | XVI 6-9 |
| AB 108 | XVI 10-13 |
| AB 109 | XVI 14-17 |

*Unidentified Section*

| | |
|---|---|
| AB 110 | XVI 19-22 |
| AB 111 | XVI 23-26 |
| AB 112 | XVI 27-28 |

***"Old Posidippus"***

| | |
|---|---|
| AB 113* | SH 978 |
| AB 114* | SH 961 |
| AB 115 | GP XI |
| AB 116 | GP XII |
| AB 117 | GP XXIV |
| AB 118 | SH 705 |
| AB 119 | GP XIII |
| AB 120 | GP XIV |
| AB 121 | GP XVI |
| AB 122 | GP XVII |
| AB 123 | GP I |
| AB 124 | GP X |
| AB 125 | GP II |
| AB 126* | Asclep. GP XXXIV |
| AB 127* | Aslep. GP XXXV |
| AB 128* | Asclep. GP XXXVI |
| AB 129 | GP III |
| AB 130 | GP IV |
| AB 131 | GP XXI |
| AB 132 | GP XV |
| AB 133* | GP XXII |
| AB 134* | Asclep. GP XXXVII |
| AB 135 | GP V |
| AB 136 | Asclep. GP XXXVIII |
| AB 137 | GP VI |
| AB 138 | GP VII |
| AB 139 | GP VIII |
| AB 140 | GP IX |
| AB 141* | Asclep. GP XXXIX |
| AB 142 | GP XIX |
| AB 143° | SH 702 |
| AB 144° | SH 701 |
| AB 145° | SH 698 |
| AB 146° | SH 699 |
| AB 147° | SH 706 |
| AB 148° | SH 700 |
| AB 149° | SH 707 |
| AB 150° | SH 703 |


© Center for Hellenic Studies